ΑΝΘΟΛΟΓΙΑ

SIVE

EPIGRAMMATUM GRÆCORUM

EX

'Ανθολογίᾳ Editâ, MS. *Bodleianâ*,

ALIISQUE AUTORIBUS

DELECTUS.

In uſum Scholæ WESTMONASTERIENSIS.

LONDINI:

Sumptibus B. BARKER, ad Inſignia Collegii *Weſtmonaſterienſis* juxta Scholam Regiam.

MDCCXLVIII.

30 AUG 1962

ΑΝΘΟΛΟΓΙΑ.

I.

Ἡ ἄμπελος πρὸς τὸν τράγον.

ΕΥΗΝΟΥ.

Κἦν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω
Ὅσον ἐπισπεῖσαί σοι, τράγε, θυομένῳ.

Rode, caper, vitem, tamen hinc cum stabis ad aras
Ipsa tua quod fundi cornua, possit ent. Ovid.

II.

Ἀδήλῳ.

Ὁ Ζεὺς πρὸς τὸν Ἔρωτα, βέλη τὰ σὰ παῦ' ἀφελοῦμαι·
Χὠ πλανὸς, βρόντα, κὴ πάλι κύκνος ἔσῃ.

III.

ΠΛΑΤΩΝΟΣ νεωτέρου.

Ἀνέρα τις λιπόγυιον ὑπὲρ νώτοιο λιπαυγὴς
Ἦγε, πόδας χρήσας, ὅμματα χρησάμενος.

IV.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Χρυσὸν ἀνὴρ εὑρὼν, ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν,
Ὃν λίπεν, οὐχ εὑρὼν, ἧψεν, ὃν εὗρε, βρόχον.

V.

ΝΙΚΑΝΔΡΟΥ.

Δακρύει Φείδων ὁ φιλάργυρος, οὐχ ὅτι θνήσκει,
Ἀλλ' ὅτι πέντε μυῶν τὴν σορὸν ἐπρίατο.

VI.

ΠΩΛΙΑΝΟΥ.

Χαλκὸν ἔχων πῶς ὐδὲν ἔχεις, μάθε· πάντα δανείζεις·
Οὕτως ὐδὲν ἔχεις αὐτὸς, ἵν' ἄλλος ἔχῃ.

VII.

ΠΑΛΛΑΔΑ.

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος·
Ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

VIII.

Τοῦ αὐτοῦ.

Χρυσὲ, πάτερ κολάκων, ὀδύνης καὶ φροντίδος ἐλὲ,
Καὶ τὸ ἔχειν σε, φόβος, καὶ μὴ ἔχειν σ' ὀδύνη.

IX.

ΦΙΛΙΠΠΟΥ.

Ἠρίθμει πολὺν ὄλβον Ἀριστείδης ὁ πενιχρός·
Τὴν οἶν, ὡς ποίμνην· τὴν βόα δ', ὡς ἀγέλην.

X.

ΙΟΥΛΙΑΝΟΥ.

Κερδαλέως δίζεσθε δόμους, λῃστορες, ἄλλους·
Τοῖσδε γάρ ἐστι φύλαξ ἔμπεδος, ἡ πενίη.

XI.

ΜΕΝΕΚΡΑΤΟΥΣ.

Γῆρας, ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ' ἔλθῃ,
Μέμφεται· ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

XII.

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἴτις γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι
Γηράσκειν πολλῶν εἰς ἐτέων δεκάδας.

XIII.

ΛΟΥΚΙΑΝΟΥ.

Ὡς τεθνηξόμενος, τῶν σῶν ἀγαθῶν ἀπόλαυε·
Ὡς δὲ βιωσόμενος, φείδεο σῶν κτεάνων.

XIV.

ΔΗΜΟΔΟΚΟΥ.

Εἶπεν ὁ Δημόδοκος, Χῖοι κακοί· ἦχ ὁ μὲν, ὃς δ' ὅς·
Πάντες πλὴν Προκλέους· ἀλλὰ Προκλῆς ὁ Χίος.

XV.

Ἀδήλω.

Οὐκ ἐθέλουσα Τύχη σε προήγαγεν, ἀλλ' ἵνα δείξῃ
Ὡς ὅτι, κὴ μέχρι σεῦ, πάντα ποιεῖν δύναται.

XVI.

Ἀδήλω.

Εἰ μὲ φιλοῦντα φιλεῖς, διοτὴ χάρις· εἰ δέ με μισεῖς,
Τόσον μὴ μίσῃς, ὅσον ἐγώ σε φιλῶ.

XVII.

ΣΙΜΩΝΙΔΟΥ.

Ἰσθμοῖ κὴ Πυθοῖ Διοφῶν ὁ Φίλωνος ἐνίκα,
Ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην.

XVIII.

Ἀδήλω.

Ἑπτὰ πολυπλανέες κατ' Ολύμπιον ἀστέρες ὁδὸν,
Μήνη, Ζεὺς, Ἄρης, Παφίη, Κρόνος, Ἥλιος, Ἑρμῆς.

XIX.

Ἀδήλω.

Ἑπτὰ ἐριδμαίνουσι πόλεις διὰ ῥίζαν Ὁμήρου,
Σμύρνα, Χίος, Κολοφὼν, Ἰθάκη, Πύλος, Ἄργος, Ἀθῆναι.

XX.

ΖΗΛΩΤΟΥ.

Ἐκλάσθην ἐπὶ γῆς ἀνέμῳ πίτυς· ἐς τί με πόντῳ
Στέλλετε, ναυηγὸν κλῶνα πρὸ ναυτιλίης;

XXI.

Ἀδήλου.

Ἔσβεσε τὸν λύχνον μωρὸς, ψυλλῶν ὑπὸ πολλῶν
Δακνόμενος· λέξας, οὐκ ἔτι με βλέπετε.

Stilling by the gnats, the fool puts out the light,
now you are bit, quoth he, you cannot see to bite.

XXII.

ΑΝΤΙΟΧΟΥ.

Βήσας, εἰ φρένας εἶχεν, ἀπήγχετο· νῦν δ' ὑπ' ἀνοίας
Καὶ ζῇ κὐ πλεῖ, κὐ μετὰ τὴν Πάροδον.

XXIII.

ΛΟΥΚΙΑΝΟΥ.

Εἰς τί μάτην νίπτεις δέρμας Ἰνδικον; ἴσχεο τέχνης·
Οὐ δύνασαι δνοφερὴν νύκτα καθηλιάσαι.

XXIV.

ΑΝΤΙΠΑΤΡΟΥ.

Εἰς δυσώδη.

Εἴ με φιλεῖς, μισεῖς με· κὐ εἰ μισεῖς σὺ, φιλεῖς με.
Εἰ δέ με μὴ μισεῖς, φίλτατε, μή με φίλει.

XXV.

Ἀδήλω.

Ὁ φθόνος ἐστὶ κάκιστον· ἔχει δέ τι καλὸν ἐν αὐτῷ·
Τήκει γὰρ φθονερῶν ὄμματα καὶ κραδίην.

XXVI.

ΘΕΟΓΝΙΔΟΣ.

Τὴν σαυτῦ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτῶν
Ἄλλός τις σὲ κακῶς, ἄλλος ἀμείνον ἐρεῖ.

XXVII.

ΑΠΟΛΛΙΝΑΡΙΟΥ.

Ἂν μὲν ἀπόντα λέξῃς με κακῶς πάντ', οὐκ ἀδικεῖς με·
Ἂν δὲ παρόντα καλῶς, ἴσθι κακῶς με λέγων.

XXVIII.

ΝΙΚΑΡΧΟΥ.

Οὔτ' ἔκλυσεν Φείδων μ', ὅθ' ἥψατο· ἀλλὰ πυρέξας
Ἐμνήσθην αὐτῦ τέκνομαι, κἀπέθανον.

XXIX.

ΚΑΛΛΙΚΗΡΟΥ.

Εἰς ἰατρὸν κλέπτην.

Φαρμακίῃσι Ῥόδων λέπρεον καὶ χοιράδας αἴρει,
Τἄλλα δὲ πάντ' αἴρει καὶ δίχα φαρμακιῶν.

XXX.

Ἀδήλε.

Ἀνδρὶ μὲν αὐληθῆρι θεοὶ νόον εἰσενέφυσαν·
Ἀλλ' ἅμα τῷ φυσᾶν χὠ νόος ἐκπέταται.

XXXI.

ΛΟΥΚΙΛΛΙΟΥ.

Νυκτικόραξ ἄδει θανατηφόρον· ἀλλ' ὅταν ἅσῃ
Δημόφιλος, θνήσκει καὐτὸς ὁ νυκτικόραξ.

XXXII.

Τοῦ αὐτοῦ.

Εἰς φυλακὴν βληθείς ποτε Μάρκος ὁ ἀργὸς, ἑκουσὶ,
Οἰκῶν ἐξελθεῖν, ὡμολόγησε φόνον.

XXXIII.

Ἀδήλε.

Εἰ τὸ τρέφειν πώγωνα δοκεῖ σοφίαν περιποιεῖν,
Καὶ τράγος εὐπώγων εὔσολός ἐστι Πλάτων.

XXXIV.

ΠΑΛΛΑΔΑ.

Εἰ μοναχοὶ, τί τοσοίδε; τοσοίδέ τε, πῶς πάλι μοῦνοι;
Ὦ πληθὺς μοναχῶν, ψευσαμένη μονάδα.

XXXV.

Ἀδήλου.

Αἱ βόες αἱ λευκαὶ Μάρκῳ τῷ Καίσαρι, χαίρειν·
Ἂν δὲ σὺ νικήσῃς, ἄμμες ἀπολλύμεθα.

XXXVI.

Ἀδήλου.

Παλλάδος εἰμὶ φύλον, Βρομίῳ τί με θλίβετε κλῶνες;
Αἴρετε τὰς βότρυας, παρθένος ἁ μεθύω.

XXXVII.

ΑΜΜΙΑΝΟΥ.

Εἴη σοι καὶ ἀπὸ γῆς κώφη κόνις, οἰκτρὲ Νέαρχε,
Ὅφρά σε ῥηϊδίως ἐξερύσωσι κύνες.

XXXVIII.

ΜΕΛΕΑΓΡΟΥ.

Παμμῆτορ γῆ, χαῖρε· σὺ μὲν πάρος ἁ βαρὺν εἰς σὲ
Αὐσιγένην καὐτὴ νῦν ἐπέχοις ἀβαρής.

XXXIX.

ΜΕΝΑΝΔΡΟΥ.

Εἰς Ἐπίκουρον καὶ Θεμιστοκλέα.

Χαῖρε, Νεοκλείδα, δίδυμον γένος· ὧν ὁ μὲν ὑμῶν
Πατρίδα δουλοσύνας ῥύσατ', ὁ δ' ἀφροσύνας.

XL.

ΠΑΡΜΕΝΙΩΝΟΣ.

Τύμβον Ἀλεξάνδροιο Μακηδόνος ἦν σέ τις εἴρῃ,
Ἠπείρης κείνης σῆμα λέγ' ἀμφοτέρας.

XLI.

Ἀδήλου.

Ζωὴν συλήσας, δωρῇ τάφον· ἀλλά με κρύπτεις,
Οὐ θάπτεις· τοίης κἀγὼ ὄναιο τάφου.

XLII.

ΚΑΛΛΙΜΑΧΟΥ.

Ὁδοιπόρος καὶ μισάνθρωπος.

Τίμων (ἀ γὰρ ἔτ' ἐστὶ) τί τοι φάος, ἢ σκότος ἐχθρόν;
Τὸ σκότος· ὑμέων γὰρ πλείονες εἰν Ἀΐδῃ.

XLIII.

Ἀδήλου.

Ὡς ἀπὸ τοῦ αὐτοῦ Τίμωνος.

Μὴ χαίρειν εἴπῃς με, κακὸν κάρα, ἀλλὰ πάρελθε·
Ἴσον ἐμοὶ χαίρειν ἐστὶ, τὸ μή σε γελᾶν.

XLIV.

Ἀδήλου.

Ἑξηκοντούτης Διονύσιος ἐνθάδε κεῖμαι,
Ταρσεύς, μὴ γήμας· αἴθε δὲ μηδ' ὁ πατήρ.

XLV.

ΔΑΜΑΣΚΙΟΥ.

Ζωσίμη ἡ πρὶν ἐοῦσα μόνῳ τῷ σώματι δούλη,
Καὶ τῷ σώματι νῦν εὗρεν ἐλευθερίην.

XLVI.

Ἀδήλου.

Δοῦλος ἀνὴρ ἔτος ζῶν ἦν πολύ· νῦν δὲ τεθνηκὼς
Ἴσον Δαρείῳ τῷ μεγάλῳ δύναται.

XLVII.

ΛΕΟΝΤΙΟΥ.

Ἐκ μὲν Αἴαντι ξίφος ὤπασεν· Ἕκτορι δ' Αἴας
Ζωστὴρ ἀμφοτέρων ἡ χάρις εἰς θάνατον.

XLVIII.

Τοῦ αὐτοῦ.

Αἴας ἐν Τροίῃ μετὰ μυρίον εὖχος ἄεθλων
Μέμφεται, οὐκ ἐχθροῖς κείμενος, ἀλλὰ φίλοις.

XLIX.

ΠΛΑΤΩΝΟΣ.

Ναυηγὸς τάφος εἰμί· ὁ δ' αὐλίον ἐστὶ γεωργοῦ·
Ὡς ἀλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' Ἀΐδης.

L.

ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ὁπλῶ μευ πήχεις ἄπεχε, τρηχεῖα θάλατ]α,
Καὶ κύμαινε, βόα θ', ἡλίκα σοι δύναμις.

LI.

ΣΙΜΩΝΙΔΟΥ.

Ἐσβέσθης, γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
Οἰνωπὸν Βάκχᾳ βότρυν ἐρεπ]όμενος.

LII.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἀπὸ Διογένους.

Πάν]α φέρω πορθμῆϊ· λέλοιπα γὰρ ἐδὲν ὑπὲρ γῆς·
Ἀλλὰ κύον σαίνοις, Κέρ]ερε, τόν με Κύνα.

LIII.

ΙΟΥΛΙΑΝΟΥ.

Εἰς Σκεπ]ικόν· διάλογος.

Κάτθανες, ὦ Πύῤῥων; ἐπέχω· Πυμάτην με]ὰ μοῖραν ἀφο[ν]ος
Φὴς ἐπέχειν; ἐπέχω· Σκέψιν ἔπαυσε τάφος.

LIV.

Πλῶτον, δέξο μάκαρ Δημόκρι]ον, ὥς κεν ἀνάσσων
Αἰὲν ἀμειδήτων, κὴ γελάον]α λάχοις.

LV.

ΣΙΜΩΝΙΔΟΥ.

Ἀπὸ τῶν ἐν Θερμοπύλαις θανόντων.

Ὦ ξεῖν', ἄγγειλον Λακεδαιμονίοις, ὅτι τῇδε
Κείμεθα, τοῖς κείνων πειθόμενοι νομίμοις.

LVI.

Εἰς τὰς αὐτάς.

Ἀκμᾶς ἐσηῖαν ἐπὶ ξυρῇ Ἑλλάδα πᾶσαν
Ταῖς ἡμῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

LVII.

ΑΝΑΚΡΕΟΝΤΟΣ.

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, ὃς τόδε σᾶμα·
Ἄρης δ' ἐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

LVIII.

ΚΑΛΛΙΜΑΧΟΥ.

Τῇδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
Κοιμᾶται· θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

LIX.

Ἀδήλου.

Τίς πατρὸς τόδε σῆμα, τὸ δ' ἔμπαλιν ἦν τὸ δίκαιον·
Ἦν δὲ δικαιοσύνης ὁ φθόνος ὀξύτερος.

LX.

ΓΡΗΓΟΡΙΟΥ Ναζιανζήνυ.

Ρηῆρες φθέγγοισθε· Μεμυκότα χείλεα σιγῇ
Ἀμφιλόχυ μεγάλυ τύμβος· οὐδ' ἀμφὶς ἔχω.

LXI.

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ.

Γρῆυς μὲν μόρον εὗρεν, ὄφελλε δὲ μυρία κύκλα
Ζώειν· τῶν ἀγαθῶν ὐ δεχόμεσθα κέρον.

LXII.

Εἰς Νιόβην.

Ὁ τύμβος ὅτος ἔνδον ὐκ ἔχει νεκρόν·
Ὁ νεκρὸς ὅτος ἐκτὸς ὐκ ἔχει τάφον·
Ἀλλ' αὐτὸς αὐτῦ νεκρός ἐστι κὴ τάφος.

LXIII.

Εἰς ἄγαλμα Διὸς διὰ Φειδίυ.

Ἦ Θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ ὐρανῦ, εἰκόνα δείξων,
Φειδία, ἢ σύ γ' ἔβης τὸν Θεὸν ὀψόμενος.

LXIV.

ΑΝΑΧΡΕΟΝΤΟΣ.

Εἰς τὴν Μύρωνος βῦν.

Βυκόλε, τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος
Βοίδιον, ὡς ἔμπνευ, βυσὶ συνεξελάσῃς.

Pasce greges procul hinc, ne, quaeso, bubulca, Myronis
Os, veluti spirans cum bobus exagites.

Ausonius.

LXV.

ΕΤΗΝΟΥ.

Ἦ τὸ δέρας χάλκειον ὅλον βοὶ ταῦρ' ἐπίκειται
Ἰχθοειδές, ἢ ψυχὴν ἔνδον ὁ χαλκὸς ἔχει.

LXVI.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Μόσχε, τί μοι λαγένεσσι προσέρχῃ; τίπτε δὲ μυκᾷς;
Ἃ τέχνα μαζοῖς οὐκ ἐνέθηκε γάλα.

LXVII.

ΙΟΥΛΙΑΝΟΥ.

Πόρτιν τήνδε Μύρωνος ἰδὼν τάχα τῦτο βοήσεις,
Ἦ φύσις ἄπνοός ἐστιν, ἢ ἔμπνοος ἔπλασε τέχνη.

LXVIII.

Ἀδήλου.

Ἱπποκένταυρος.

Ἀνὴρ νάσφι πόδων, κεφαλῆς δ' ἄτερ αἰόλος ἵππος·
Ἀνδρόθεν ἔκκεχυθ' ἵππος, ἀνέδραμε δ' ἱππόθεν ἀνήρ.

LXIX.

Ἀδήλου.

Εἰς ἄγαλμα Νιόβης.

Ἐκ ζωῆς με Θεοὶ τεῦξαν λίθον, ἐκ δὲ λίθοιο
Ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

LXX.

Ἀδήλου.

Εἰς ἄγαλμα Ἀφροδίτης τῆς ἐν Κνίδῳ.

Ἁ Κύπρις τὰν κύπριν ἐνὶ Κνίδῳ, εἶπεν, ἰδοῦσα,
Φεῦ, φεῦ, πᾶ γυμνὰν εἶδέ με Πραξιτέλης;

LXXI.

Εἰς τὸ αὐτό.

Γυμνὴν εἶδε Πάρις με, κὴ Ἀγχίσης, κὴ Ἄδωνις·
Τὰς τρεῖς οἶδα μόνας· Πραξιτέλης δὲ πόθεν;

LXXII.

Εἰς Στήλην Νεμέσεως.

Ἡ Νέμεσις προλέγει τῷ πήχει, τῷ τε χαλινῷ,
Μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

LXXIII.

ΠΛΑΤΩΝΟΣ.

Τὸν Σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν·
Ἦν νύξῃς, ἐγρεῖς· ἄργυρος ὕπνον ἔχει.

LXXIV.

Ἀδήλου.

Κεκροπίδαι Διὶ τάνδ' ἔθεσαν δόμον, ὡς ἀπ' Ὀλύμπου
Νεισσόμενος ποτὶ γᾶν, ἄλλον Ὄλυμπον ἔχῃ.

LXXV.

Εἰς εἰκόνα ῥήτορος ἀφυοῦς.

Τίς σε τὸν ἀ λαλέοντα τύπῳ ῥητῆρος ἔγραψε;
Σιγᾷς; ἀ λαλέεις; Οὐδὲν ὁμοιότερον.

LXXVI.

Ἀδήλου.

Εἰκὼν ἡ Σέξτου μελετᾷ· Σέξτος δὲ σιωπᾷ·
Ῥήτωρ ἦν εἰκών· ὁ δὲ ῥήτωρ εἰκόνος εἰκών.

LXXVII.

ΠΛΑΤΩΝΟΣ.

Εἰς λυτρόν.

Ἡ τοῖον Κυθέρειαν ὕδωρ τέκεν, ἢ Κυθέρεια
Τοῖον ἔτευξεν ὕδωρ, ὃν χρόα λυσαμένη.

LXXVIII.

Αὐτὸν Πυθαγόρην ὁ Ζωγράφος· ὃν μετὰ φωνῆς
Εἶδες ἄν, εἴγε λαλεῖν ἤθελε Πυθαγόρης.

LXXIX.

ΙΟΥΛΙΑΝΟΥ.

Αὐτὴν Θεοδότην ὁ Ζωγράφος. αἴθε δὲ τέχνης
Ἥμβροτε, καὶ λήθην δῶκεν ὀδυρομένοις.

LXXX.

ΛΕΩΝΙΔΟΥ.

Εἰκόνα Μηνοδότε γράψας Διόδωρος, ἔθηκε
Πλὴν τῦ Μηνοδότε πᾶσιν ὁμοιοτάτην.

LXXXI.

ΠΑΛΛΑΔΑ.

Χωλὸν ἔχεις τὸν νῦν, ὡς τὸν πόδα· ἡ γὰρ ἀληθῶς
Εἰκόνα τῶν ἐντὸς σὴ φύσις ἐκτὸς ἔχει.

LXXXII.

ΟΝΕΣΤΟΥ Κορινθίε.

Ἔστην ἐν Φόρμιγγι, καὶ ηρείφθην δὲ σὺν αὐλῷ
Θήβη· φεῦ μέσης ἔμπαλιν ἁρμονίης.

LXXXIII.

Ἀδήλε.

Χαλκοτύπος τὸν Ἔρωτα μεταλλάξας, ἐποίησε
Τήγανον· ἡ κ ἀλόγως, ὅτι κ αὐτὸ φλέγει.

Santag°

LXXXIV.

ΠΛΑΤΩΝΟΣ.

Ἀστέρας εἰσαθρεῖς Ἀστὴρ ἐμός· εἴθε γενοίμην
Οὐρανὸς, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

LXXXV.

Τῦ αὐτῦ.

Ἀςὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἑῷος·
Νῦν δὲ θανὼν, λάμπεις Ἔσπερος ἐν φθιμένοις.

LXXXVI.

ΡΟΥΦΙΝΟΥ.

Τέσσαρες αἱ Χάριτες, Παφίαι δύο, κὴ δέκα Μῦσαι·
Δερκυλὶς ἐν πάσαις Μῦσα, Χάρις, Παφίη.

LXXXVII.

Ἀδήλυ.

Τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον· ἢν δὲ παρέλθῃ,
Ζητῶν εὑρήσεις ὐ ῥόδον, ἀλλὰ βάτον.

LXXXVIII.

ΜΕΛΕΑΓΡΟΥ.

Εἰ μὲν γηράσκει τὸ καλὸν, μελάδος πρὶν ἀπέλθῃ·
Εἰ δὲ μένει, τί φοβῇ τῦθ', ὃ μένει, διδόναι;

LXXXIX.

Τῦ αὐτῦ.

Ὁ στέφανος περὶ κρατὶ μαραίνεται Ἡλιοδώρας·
Αὐτὴ δ' ἐκλάμπει τῷ στεφάνῳ στέφανος.

XC.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἢ τὸ φιλεῖν περίγραψον, Ἔρως, ὅλον, ἢ τὸ φιλεῖσθαι
Πρόσθες· ἵν' ἢ λύσῃς τὸν πόθον, ἢ κεράσῃς.

XCI.

ΝΙΚΑΡΧΟΥ.

Κάλλος ἄνευ χαρίτων τέρπει μόνον, ἃ καλέχει δὲ,
Ὡς ἄτερ ἀγκίστρου νηχόμενον δέλεαρ.

XCII.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου.

Ἦν ἐσίδω Θήρωνα, τὰ πάνθ' ὁρῶ· ἢν δὲ τὰ πάντα
Βλέψω, τὸν δέ γε μὴ, τἄμπαλιν ἐδὲν ὁρῶ.

XCIII.

Τοῦ αὐτοῦ.

Πέμπω σοι μύρον ἡδύ, μύρῳ παρέχων χάριν, ἃ σοί·
Αὐτὴ γὰρ μυρίσαι κὴ τὸ μύρον δύνασαι

XCIV.

ΝΙΚΟΔΗΜΟΥ.

Ἀντιστρέφοντα.

Πηνελόπη, τόδε σοι φᾶρος κὴ χλαῖναν Ὀδυσεὺς
Ἤνεγκεν, δολιχὴν ἐξανύσας ἀτραπόν.

XCV.

ΛΕΩΝΙΔΟΥ.

Ἰσόψηφον.

Εἰς πρὸς ἕνα ψήφοισιν ἰσάζεται, ἢ δύο δοιοῖς·
Οὐ γὰρ ἔτι σέργω τὴν δολιχογραφίην.

XCVI.

ΛΟΥΚΙΑΝΟΥ.

Θνητὰ τὰ τῶν θνητῶν, κ᾽ πάντα παρέρχεται ἡμᾶς·
Ἢν δὲ μὴ, ἀλλ᾽ ἡμεῖς αὐτὰ παρερχόμεθα.

XCVII.

ΠΑΛΛΑΔΑ.

Σκηνὴ πᾶς ὁ βίος, κ᾽ παίγνιον· ἢ μάθε παίζειν
Τὴν σπουδὴν μεταθείς, ἢ φέρε τὰς ὠδύνας.

XCVIII.

Ἀδήλου.

Ἓξ ὧραι μοχθοῖς ἱκανώτατοι· αἱ δὲ μετ᾽ αὐτὰς
Γράμμασι δεικνύμεναι ΖΗΘΙ λέγεσι βροτοῖς.

XCIX.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Μνήμη κ᾽ λήθη, μέγα χαίρετον· ἡ μὲν ἐπ᾽ ἔργοις
Μνήμη τοῖς ἀγαθοῖς, ἡ δ᾽ ἐπὶ λευγαλέοις.

C.

ΛΟΥΚΙΑΝΟΥ.

Τοῖσι μὲν εὖ πράτ]ουσιν ὡς ὁ βίος βραχύς ἐς·
Τοῖς δὲ κακῶς, μία νὺξ ἄπλε]ό; ἐς· χρόν.

CI.

ΠΑΛΛΑΔΑ.

Σιγῶν παρέρχε τὸν ταλαίπωρον βίον,
Αὐτὸς σιωπῇ τὸν χρόνον μιμούμενος·
Λαθὼν δὲ, κ᾽ βιῶσον· εἰ δὲ μὴ, θανών.

CII.

Ἀδήλου.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ κ᾽ εὐχομένοις κ᾽ ἀνεύχ]οις
Ἄμμι δίδου· τὰ δὲ λυγρὰ κ᾽ εὐχομένων ἀπερύκοις.

I.

ΑΡΧΙΟΥ.

Τέσσαρές εἰσιν ἀγῶνες ἀν' Ἑλλάδα, τέσσαρες ἱροί·
Οἱ δύο μὲν θνητῶν, οἱ δύο δ' ἀθανάτων·
Ζηνὸς, Λητοΐδαο, Παλαίμονος, Ἀρχεμόροιο,
Ἆθλα δὲ τῶν, κότινος, μῆλα, σέλινα, πίτυς.

II.

ΔΑΜΑΓΗΤΟΥ.

Οὔτ' ἀπὸ Μεσσάνας, ἔτ' Ἀργόθεν εἰμὶ παλαισ-άς·
Σπάρ[τα] μοι Σπάρτα κυδιάνειρα πατρίς.
Κεῖνοι τεχνάεντες ἔγωγε μὲν, (ὡς ἐπέοικε
Τοῖς Λακεδαιμονίων παισὶ) βίᾳ κρατέω.

III.

ΙΟΥΛΙΑΝΟΥ.

Μήτηρ ἦα λιπόντα μάχην μετὰ πότμον ἑταίρων
Ἔκτανεν, ὠδίνων μνῆσ-ιν ἀνηναμένη.
Καὶ γὰρ γνήσιον αἷμα διακρίνει Λακεδαίμων
Ἀλκῇ μαρναμένων, ἢ γενεῇ βρεφέων.

IV.

ΠΑΡΜΕΝΙΩΝΟΣ.

Εἰς Ξέρξην.

Τὸν, γαίης κ᾽ πόντε ἀμειφθείσαισι κελεύθοις,
Ναύτην ἠπείρε, πεζοπόρον πελάγευς
Ἐν τριοσαῖς δοράτων ἑκατονταάσιν ἔσεγεν Ἄρης
Σπάρτης· αἰσχύνεσθ᾽ ἤρεα κ᾽ πελάγη.

V.

ΑΡΧΙΟΥ.

Ὃν πόλεμος δεδιὼς ἔκ ὤλεσε, νῦν ὑπὸ νέσε
Θλίβομαι, ἐν δ᾽ ἰδίῳ τήκομ᾽ ὅλος πολέμῳ·
Ἀλλὰ διὰ σέρνων ἴθι φάσγανον· ὡς γὰρ ἀρισεὺς
Θνήξομ᾽, ἀπωσάμενος κ᾽ νόσον ὡς πόλεμον.

IV.

ΑΛΚΑΙΟΥ Μεσηνίε.

Μακύνε τείχη, Ζεῦ Ὀλύμπιε· ῥέξε Φίλιππος
Ἄμβατα· χαλκείας κλεῖε πύλας Μακάρων.
Καὶ γὰρ χθὼν κ᾽ πόντος ὑπὸ σκάπ]ροισι Φιλίππε
Δέδμανται· λοιπὰ δ᾽ ἀ πρὸς Ὄλυμπον ὁδός.

VII.

Ἀδήλου.

Ἐκ πυρὸς Ἰλιακῆ δοράτων μέσον ἥρπασεν Ἥρως
Αἰνείας, ὅσιον παιδὶ βάρος, πατέρα·
Ἔκλαγε δ' Ἀργείοις, μὴ ψαύετε· μικρὸν ἐς Ἄρη
Κέρδος, ὁ γηραλέος· τῷ δὲ φέροντι, μέγα.

VIII.

ΒΙΑΝΟΡΟΣ.

Ἤριπεν ἐξ ἄκρης δόμος ἀθρόος, ἀλλ' ἐπὶ παιδὶ
Νηπιάχῳ, Ζεφύρῳ πολλὸν ἐλαφρότερος.
Φείσατο κυροσύνης κ' ἐρείπιον· ὦ μεγάλαυχοι
Μητέρες, ὠδίνων κ' λίθος αἰσθάνεται.

IX.

ΚΑΛΛΙΜΑΧΟΥ.

Στήλην μητρυιῆς, μιαρὰν λίθον, ἔσφε κύρβις,
Ὡς βίον, ἠλλάχθαι κ' τρόπον οἰόμενος·
Ἡ δὲ κάτω κλινθεῖσα, κατέκτανε παῖδα πεσοῦσα·
Φεύγετε μητρυιῆς κ' τάφον, οἱ πρόγονοι.

X.

ΑΡΧΙΟΥ.

Εὔφημος γλώσση, παραμείβεο ταὶν λάλον Ἠχώ,
Κἀ λάλον· ἤν τι κλύω, τῆτ' ἀπαμειβομέναν.
Εἰς σὲ γὰρ, ὃν σὺ λέγεις, τρέψω λόγον· ἢν δὲ σιωπᾷς,
Σιγήσω· Τίς ἐμεῦ γλῶσσα δικαιοτέρη;

XI.

Ἀδήλου.

Τὸν λύκον ἐξ ἰδίων μαζῶν τρέφω οὐκ ἐθέλουσα,
Ἀλλά μ' ἀναγκάζει ποιμένος ἀφροσύνη.
Αὐξηθεὶς; δ' ὑπ' ἐμεῦ, κατ' ἐμεῦ πάλι θηρίον ἔσαι·
Ἡ χάρις ἀλλάξαι τὴν φύσιν οὐ δύναται.

XII.

ΓΕΡΜΑΝΙΚΟΥ Καίσαρος.

Ἐκ κυνὸς εἶλε κύων με· τί τὸ ξένον; εἰς ἐμὲ θῆρες
Ὑγροὶ κὴ πεζοὶ θυμὸν ἔχουσιν ἕνα.
Αἰθέρα λοιπὸν ἔχοιτε, λαγοί, βατόν· ἀλλὰ φοβοῦμαι,
Οὐρανέ, κὴ σὺ φέρεις ἀστερόεντα κύνα.

XIII.

ΙΟΥΛΙΟΥ ΛΕΩΝΙΔΟΥ.

Εἰν ἐνὶ κινδύνῳ ἔφυγον δύο Μυρτίλος ὅπλῳ,
Τὸν μὲν, ἀριστεύσας, τὸν δ', ἐπινηξάμενος,
Ἀργέος ὅτ' ἔδυσε νεὼς τρόπιν· ἀσπίδα δ' ἔσχον
Σωθεὶς κεκριμένην ὕδατι καὶ πολέμῳ.

XIV.

Ἀδήλου.

Ἦν νέος, ἀλλὰ πένης, νῦν γηρῶν πλεῖστός εἰμι·
Ὦ μόνος ἐκ πάντων οἰκτρὸς ἐν ἀμφοτέροις.
Ὅς τότε μὲν χρῆσθαι δυνάμην, ὁπότ' οὐδὲν εἶχον·
Νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι, τότ' ἔχω.

XV.

ΑΝΤΩΝΙΟΥ Ἀργείου.

Εἰς Ἄργος.

Ἦ πρὶν ἐγὼ Περσῆος ἀκρόπολις αἰθερίοιο,
Ἦ πικρὸν Ἰλιάδαις ἀστέρα θρεψαμένη,
Αἰπολίοισιν ἔναυλον ἐρημαίοισιν ἀνεῖμαι,
Τίσασα Πριάμου δαίμοσιν ὀψὲ δίκας.

XVI.

Ἀδήλου.

Ἢ τὸ πρὶν αὐχήσασα πολυχρύσοις ἐπ' ἐραστοῖς,
Ἢ Νέμεσιν δεινὴν ἐχὶ κύσασα Θεὸν,
Μίσθια νῦν σπαθίοις πενιχροῖς πηνίσματα κρύει·
Ὄψέ γ' Ἀθηναίη Κύπριν ἐληΐσατο.

XVII.

ΛΟΥΚΙΑΝΟΥ.

Ἀγρὸς Ἀχαιμενίδου γενόμην ποτὲ, νῦν δὲ Μενίππου·
Καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον.
Καὶ γὰρ ἐκεῖνος ἔχειν μέ ποτ' ᾤετο, κοὐ πάλιν ἄλλος
Οἴεται· εἰμὶ δ' ὅλως ἀδέσποτος, ἀλλὰ Τύχης.

XVIII.

ΠΑΛΛΑΔΑ.

Εἰ τὸ μέλειν δύναταί τι, μεριμνᾶν κὐ μελέτω σοί·
Εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, σοὶ τί μέλει;
Οὔτε μεριμνήσεις δίχα δαίμονος, ἤν τ' ἀμελήσεις·
Ἀλλ' ἵνα σοί τι μέλῃ, δαίμονι τοῦτο μέλει.

XIX.

Ἀδήλου.

Παρακμετρήσαντός τινος ἐν τῷ Κυναίγειρος.

Ὦ τλῆμον Κυνέγειρε καὶ ἐν ζωοῖς καὶ ἀπελθών,
Ὡς αἰεὶ κόπτῃ ῥήμασι καὶ κοπίσι.
Πρόσθε μὲν ἐν πολέμοισι τεὴ πέσε μαρναμένου χείρ,
Νῦν δέ σ' ὁ γραμματικὸς καὶ ποδὸς ἐξέρισε.

XX.

ΛΕΩΝΙΔΟΥ.

Γράψας Δευκαλίωνα, Μενέστρατε, καὶ Φαέθοντα,
Ζητεῖς τίς τούτων ἄξιός ἐστι τίνος.
Τοῖς ἰδίοις αὐτὸς τιμήσομεν· ἄξιος ὄντως
Ἐστὶ πυρὸς Φαέθων, Δευκαλίων δ' ὕδατος.

XXI.

ΝΙΧΑΡΧΟΥ.

Πέντ' ἰητρὸς Ἄλεξις ἅμ' ἔκλυσε, πέντ' ἐκάθηρε,
Πέντ' ἴδεν ἀῤῥώστους, πέντ' ἐνέχρισε πάλιν·
Καὶ πᾶσιν μία νὺξ, ἓν φάρμακον, εἷς σοροπηγὸς,
Εἷς τάφος, εἷς Ἅιδης, εἷς κοπετὸς γέγονεν.

XXII.

ΜΕΛΕΑΓΡΟΥ.

Αἱ νύμφαι τὸν Βάκχον, ὅτ' ἐκ πυρὸς ἤλαθ' ὁ κῆρ@-,
Νίψαν, ὑπὲρ τέφρης ἄρτι κυλιόμενον.
Τἕνεκα σὺν νύμφαις Βρόμιος φίλος· ἦν δέ νιν εἴργῃς
Μίσγεσθαι, δέξῃ πῦρ ἔτι καιόμενον.

XXXIII.

ΚΑΛΛΙΟΥ Ἀργείου.

Αἰεὶ θηρίον ἦσθα, Πολύκριτε· νῦν δὲ πεπωκὼς
Ἐξαπίνης ἐγένου λυσσομανές τι κακόν.
Αἰεί μοι δοκέεις κακὸς ἔμμεναι· οἶνος ἐλέγχει
Τὸν τρόπον· ἐκ ἐγένου νῦν κακὸς, ἀλλ' ἐφάνης.

XXIV.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Σφάλλομαι ἀκρήτῳ μεμεθυσμένος· ἀλλὰ τίς ἆρα
Σώσει μ' ἐκ Βρομίου γῦα σαλευόμενον;
Ὡς ἄδικον θεὸν εὗρον, ὅθ' ἕνεκεν αὐτὸς ἐγώ σε,
Βάκχε, φέρων, ὑπὸ σὸν τύμπαλι παρφέρομαι.

XXV.

ΑΝΤΙΠΑΤΡΟΥ.

Οὔ μοι Πληϊάδων φοβερὴ δύσις, οὐδὲ θαλάσσης
Ὀρνύμενον συφελῷ κῦμα περὶ σκοπέλῳ,
Οὐδ' ὅταν ἀστράπτῃ μέγας ἔρανος, ὡς κακὸν ἄνδρα
Ταρβῶ, καὶ μύθων μνήμονας ὑδροποτας.

XXVI.

ΝΙΚΑΡΧΟΥ.

Ἕρμαίοις, ἡμῖν Ἀφροδίσιον ἔξ χόας οἶνου
Αἴρων, προσκόψας πένθος ἔθηκε μέγα.
Οἶνος καὶ Κένταυρον ἀπώλεσεν· ὡς ὄφελεν δὲ
Κ' ἡμᾶς· νῦν δ' ἡμεῖς τοῦτον ἀπωλέσαμεν.

XXVII.

Ἀδήλου.

Πλουτεῖν φασί σε πάντες, ἐγὼ δέ σε φημὶ πένεσθαι·
Χρῆσις γὰρ πλούτου μάρτυς, Ἀπολλόφανες.
Ἂν μετέχῃς αὐτῶν σύ, σὰ γίγνεται· ἂν δὲ φυλάττῃς
Κληρονόμοις, ἀπὸ νῦν γίγνεται ἀλλότρια.

XXVIII.

ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Ἐχθὲς δειπνήσας τράγεον πίδα, κ᾽ δεκαταῖον
Κανναβίνης κράμβης μήλινον ἀσπάραγον,
Εἰπεῖν τὸν καλέσαντα φυλάσσομαι· ἔστι γὰρ ὀξύς·
Καὶ φόβος· ἔχ᾽ ὁ τυχὼν, μή με πάλιν καλέσῃ.

XXIX.

ΛΟΥΚΙΛΛΙΟΥ.

Μῶν Ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ,
Καὶ, τί ποιεῖς, φησὶν, φίλτατε μοῦ, παρ᾽ ἐμοί;
Ἡδὺ δ᾽ ὁ μῦς γελάσας, μηδὲν, φίλε, φησὶ, φοβηθῇς·
Οὐχὶ τροφῆς παρά σοι χρήζομεν, ἀλλὰ μονῆς.

XXX.

ΝΙΚΑΡΧΟΥ.

Ἐχθὲς ἀπάγχεσθαι μέλλων Δείναρχος ὁ φείδων,
Γλαῦκε, δι᾽ ἓξ χαλκὸς δύσμορος, οὐκ ἔθανεν.
Ἓξ χαλκῶν ἦν γὰρ τὸ σχοινίον· ἀλλ᾽ ἐδυσώνει,
Εὔωνον ζητῶν ἄλλον ἴσως θάνατον.

XXXI.

ΑΜΜΙΑΝΟΥ.

Τὸν μικρὸν Μάκρωνα θέρες κοιμώμενον εὗρὼν,
Εἰς τρώγλην μικρῆ τῆ ποδὸς εἵλκυσε μῦς. p. 144.
Ὃς δ' ἐν τῇ τρώγλῃ ψιλὸς τὸν μῦν ἀποπνίξας,
Ζεῦ πάτερ, εἶπεν, ἔχεις δεύτερον Ἡρακλέα.

XXXII.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἱππεύων μύρμηκι Μενέστρα[Ϛ]. ὡς ἐλέφαντι,
Δύσμορ[Ϛ]. ἐξαπίνης ὕπ[ι]Ϛ. ἐξετάθη.
Λακτισθεὶς δ' ὡς εἶχε τὸ καίριον, ὦ φθόνε, φησὶν,
Οὕτως ἱππεύων ὤλετο κὴ Φαέθων.

XXXIII.

Τῆ αὐτῆ.

Πανὶ φιλοσπήλυγγι, κὴ ὀρεοφοιτάσι νύμφαις,
Καὶ Σατύροις, ἱεραῖς τ' ἔνδον Ἀμαδρυάσι,
Σὺν κυσὶ κὴ λόγχαις ταῖς πρὶν συοφόντισι Μάρκος
Μηδὲν ἑλὼν, αὐτὰς τὰς κύνας ἐκρέμασε.

XXXIV.

ΦΙΛΩΝΟΣ.

Αἱ πολιαὶ σὺν νῷ, γεραρώτεραι· αἱ γὰρ ἄτερ νοῦ
Μᾶλλον τῶν πολλῶν εἰσὶν ὄνειδος ἐτῶν.
Αἱ τρίχες, ἢν σιγᾷς, εἰσὶ φρένες· ἢν δὲ λαλήσῃς,
Ὡς αἱ τῆς ἥβης, ἀ φρένες, ἀλλὰ τρίχες.

XXXV.

ΑΜΜΙΑΝΟΥ.

Οἴει τὸν πώγωνα φρενῶν ποιητικὸν εἶναι,
Καὶ διὰ τοῦτο τρέφεις, φίλτατε, μυγοσάβην.
Κεῖρον, ἐμοὶ πειστεὶς, ταχέως· ἔτος γὰρ ὁ πώγων
Φθειρῶν ποιητὴς, οὐχὶ φρενῶν γέγονεν.

XXXVI.

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἶναι μὲν Κυνικόν σε, Μενέστρατε, καὶνυπόδητον,
Καὶ ῥιγῶν, ἀδεὶς ἀντιλέγει καθόλου.
Ἂν δὲ παραρπάζῃς ἄρτους κἠ κλάσματ' ἀλαζόνως,
Κἀγὼ ῥάβδον ἔχω, καί σε λέγουσι κύνα.

XXXVII.

ΠΑΛΛΑΔΑ.

Εἰς Θεμίστιον τὸν φιλόσοφον γενόμενον Ὕπαρχον.

Ἄντυγος ἠρανίης ὑπερήμενος, ἐς πόθον ἦλθες
Ἄντυγος ἀργυρέης· αἶσχος ἀπειρέσιον!
Ἠσθά ποτε κρείσσων, αὖθις δ' ἐγένυ πολὺ χείρων.
Δεῦρ' ἀνάβηθι κάτω· νῦν γὰρ ἄνω κατέβης.

XXXVIII.

Ἀδήλου.

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μέτρον ἔθηκαν
Ἡμετέρης βιοτῆς μάντιες αἰθέριοι.
Ἀρκέομαι τούτοισιν· ὁ γὰρ χρόνος, ἄνθος ἄριστον
Ἡλικίης. ἔθανεν χὠ τριγέρων Πύλιος.

XXXIX.

ΠΤΟΛΕΜΑΙΟΥ.

Οἶδ' ὅτι θνατὸς ἐγὼ κ' ἐφάμερος· ἀλλ' ὅταν ἄστρων
Μαστεύω πυκιναὶς ἀμφιδρόμους ἕλικας,
Οὐκέτ' ἐπιψαύω γαίης ποσίν· ἀλλὰ παρ' αὐτῷ
Ζηνὶ διοτρέφεος πίμπλαμαι ἀμβροσίης.

XL.

ΑΝΤΙΠΑΤΡΟΥ.

Νιόβη πρὸς Χάρωνα.

Μέναν σὺν τέκνοις, νεκυοστόλε, δέξο με, πορθμεῦ,
Τὰν λάϊον· ἀρκεῖ σοι φόρτος ὁ Ταντα λίδος.
Πληρώσει γὰρ ἡ μία σὸν σκάφος· εἰσίδε κύρις
Καὶ κύρας, Φοίβε σκῦλα καὶ Ἀρτέμιδος.

XLI.

ΛΟΥΚΙΑΝΟΥ.

Παῖδά με πενταέτηρον, ἀκηδέα θυμὸν ἔχοντα
Νηλειὴς Αἴδης ἥρπασε Καλλίμαχον.
Ἀλλά με μὴ κλαίοις· καὶ γὰρ βιότοιο μετέσχον
Παύρου, καὶ παύρων τῶν βιότοιο κακῶν.

XLII.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου.

Ἄγριός ἐστι Χάρων· πλέον ἤπιος. Ἥρπασεν ἤδη
Τὸν νέον· ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον.
Τερπωλῆς ἀπέπαυσεν· ἀπεσφέλιξε δὲ μόχθων.
Οὐκ ἐνόησε γάμους· ἠδὲ γάμων ὀδύνας.

XLIII.

ΔΙΟΣΚΟΡΙΔΟΥ.

Δοῦλος ἐγὼ, ναὶ δοῦλος· ἐλευθερίῳ δέ με τύμβῳ,
Δέσποτα Τιμάνθη, τὸν σὸν ἔθευ τροφέα.
Εὐαίων', ἀτινῆ τείνοις βίον· ἦν δ' ὑπὸ γήρως
Πρός με μόλῃς σὸς ἐγὼ, Δέσποτα, κἢν Ἀΐδῃ.

XLIV.

Ἀδήλου.

Τοῦτό τοι ἡμετέρης μνημήϊον, ἐσθλὲ Σαβῖνε,
Ἃ λίθος ἃ μικρὰ τῆς μεγάλης φιλίης.
Αἰεὶ ζητήσω σε· σὺ δ', εἰ θέμις, ἐν φθιμένοισι
Τοῦ λήθης ἐπ' ἐμοὶ μή τι πίῃς ὥματος.

XLV.

Ἀδήλου.

Αὐτῷ κὴ τεκέεσσι γυναικί τε τύμβον ἔδειμεν
Ἀνδροτίων· ὄπῃ δ' ὀδενός εἰμι τάφος.
Οὕτω κὴ μείναιμι πολὺν χρόνον· εἰ δ' ἄρα κὴ δεῖ,
Δεξαίμην ἐν ἐμοὶ τοὺς πρότερους πρότερον.

XLVI.

ΓΡΗΓΩΡΙΟΥ Ναζιανζήνε.

Τίς τίνος; Ἀμφιλόχιε Εὐφήμιος ἐνθάδε κεῖται,
Οὗτος ὁ Καππαδόκαις πᾶσι διὰ στόματος·
Οὗτος, ὃν αἱ Χάριτες Μούσαις δόσαν· οἱ δ' Ὑμέναιοι
Ἀμφὶ θύρας· ἦλθεν δ' ὁ φθόνος ὠκύτερος.

XLVII.

Τοῦ αὐτοῦ.

Αἱ Χάριτες Μούσῃσι, τί ῥέξομεν; ἠπέτ' ἄγαλμα
Χειρῶν ἡμετέρων Εὐφήμιος ἐν μεράπεσσι.
Χ' αἱ Μοῦσαι Χαρίτεσσιν, ἐπεὶ φθόνος ἐστὶν ἀλιτρὸς,
Τόσσον ἔχοι· ἡμῖν δὲ τόδ' ὅρκιον ἔμπεδον ἔστω,
Μηκέτ' ἀναστῆσαι τοῖον μεράπεσσιν ἄγαλμα.

XLVIII.

ΘΕΟΣΕΒΙΑΣ.

Εἶδεν Ἀκεσορίη τρία πένθεα· κείρατο χαίτην
Πρῶτον ἐφ' Ἱπποκράτει, καὶ δεύτερον ἀμφὶ Γαληνῷ·
Καὶ νῦν Ἀβλαβίῳ γοερῷ περὶ σήματι κεῖται,
Αἰδομένη μετὰ κεῖνον ἐν ἀνθρώποισι φανῆναι.

XLIX.

ΚΑΛΛΙΜΑΧΟΥ.

Κρηθίδα τὴν πολύμυθον, ἐπισαμένην καλὰ παίζειν,
Δίζηλαι Σαμίων πολλάκι θυγατέρες,
Ἠδίστην συνέριθον, ἀεὶ λάλον· ἡ δ' ἀποβρίζει
Ἐνθάδε τὸν παίσαις ὕπνον ὀφειλόμενον.

L.

Τοῦ αὐτοῦ.

Δαίμονα τίς δ' εὖ οἶδε τὸν αὔριον; ἠίκα καί σε,
Χάρμι, τὸν ὀφθαλμοῖς χθιζὸν ἐν ἡμετέροις,
Τῇ ἑτέρῃ κλαύσαντες ἐθάπτομεν· ὐδὲν ἐκείνῳ
Εἶδε πατὴρ Διοφῶν χρῆμ' ἀνιηρότερον.

LI.

Τοῦ αὐτοῦ.

Ὤφελε μήδ' ἐγένοντο θοαὶ νέες· ἢ γὰρ ἂν ἡμεῖς
Παῖδα Διοκλείδᾳ Σώπολιν ἐστέψομεν·
Νῦν δ' ὁ μὲν εἰν ἁλί πῃ φέρεται νέκυς, ἀντὶ δ' ἐκείνου
Οὔνομα καὶ κενεὸν σᾶμα παρερχόμεθα.

LII.

ΙΟΥΛΙΑΝΟΥ Αἰγυπτίᾳ.

Κλεινὸς Ἰωάννης· θνητὸς, λέγε. Γαμβρὸς ἀνάσσης·
θνητὸς ὅμως. Γενεῆς ἄνθος Ἀναστασίης·
θνητῆ καὶκείνῃ. Βίον ἔνδικον. Οὐκ ἔτι τᾶτο
θνητὸν ἔφης· Ἀρεταὶ κρείσσονές εἰσι μόρου.

LIII.

ΔΙΟΔΩΡΟΥ.

Μὴ μέτρει, Μάγνητι, τὸ πηλίκον ἔνομα τύμβῳ,
μηδὲ Θεμιστοκλέους ἔργά σε λαυθανέτω·
τεκμαίρου Σαλαμῖνι καὶ ὁλκάσι, τὸν φιλόπατριν
γνώσῃ δ' ἐκ τέτων μείζονα Κεκροπίης.

LIV.

Ἀδήλου.

Σῆμα τόδ' Αἴαντος Τελαμωνίου, ὃν κτάνε μοῖρα
αὐτῆ χρησαμένη καὶ χερὶ καὶ ξίφεϊ.
Οὐδὲ γὰρ ἐν θνητοῖσι δυνήσατο καὶ μεμαυῖα
εὑρέμεναι Κλωθὼ τῷ δ' ἕτερον φονέα.

LV.

ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ἃ δ' ἐγὼ ἀ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ, κειραμένα πλοκάμους,
Θυμὸν ἄχει μεγάλῳ βεβολημένα, ὡς παρ' Ἀχαιοῖς
Ἃ δολόφρων ἀπάτα κρεῖσσον ἐμεῦ κέκριται.

LVI.

Ἀδήλου.

Μή με τάφῳ σύγκρινε τὸν Ἕκτορα, μηδ' ἐπὶ τύμβῳ
Μέτρει τὸν πάσης Ἑλλάδος ἀντίπαλον.
Ἰλιὰς, αὐτὸς Ὅμηρος· ἐμοὶ τάφος, Ἕλλας, Ἀχαιοὶ
Φεύγοντες· τούτοις πᾶσιν ἐχωννύμεθα.

LVII.

ΑΡΧΙΟΥ.

Ἕκτορι μὲν Τροίη συγκάτθανεν, ἠδ' ἔτι χεῖρας
Ἀντῆρεν Δαναῶν παισὶν ἐπερχομένοις·
Πέλλα δ' Ἀλεξάνδρῳ συναπώλετο· πατρίδες ἆρα
Ἀνδράσιν, ἢ πάτραις ἄνδρες ἀγαλλόμεθα.

LVIII.

Ἀδήλου.

Ἡμαθίην ὃς πρῶτος ἐς Ἄρεα βῆσα Φίλιππος,
Αἰγαίην κείρας βῶλον ἐφεσσάμενος,
Ῥέξας οἷ ἅπω βασιλεὺς τὸ πρίν· εἰ δέ τις αὐχεῖ
Μεῖζον ἐμεῦ, κ᾽ τοῦθ᾽ αἵματος ἡμετέρου.

LIX.

Ἀδήλου.

Εἰπὲ, κύον, τίνος ἀνδρὸς ἐφεστὼς σῆμα φυλάσσεις;
Τὸ Κυνός. Ἀλλὰ τίς ἦν ἔτος ἀνὴρ ὁ Κύων;
Διογένης. Γένος εἰπέ· Σινωπεύς. Ὃς πίθον ᾤκει;
Καὶ μάλα· νῦν δὲ θανὼν ἀστέρας οἶκον ἔχει.

LX.

Ἀδήλου.

Γυμνικὸν αὖ πστ᾽ ἄγῶνα θεώμενον, Ἠλεῖε Ζεῦ,
Τὸν σοφὸν ἄνδρα θαλῆν ἥρπασας ἐκ σαδίου.
Αἰνέω ὅτι μιν ἐγγὺς ἀπήγαγες· ἦ γὰρ ὁ πρέσβυς
Οὐκ ἔθ᾽ ὁρᾶν ἀπὸ γῆς ἀστέρας ἠδύνατο.

LXI.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ.

Οὐ μόνον ἐμψύχων ἄπεχες χέρας, ἀλλὰ κὴ ἡμεῖς·
Τίς γὰρ ὃς ἐμψύχων ἤψατο, Πυθαγόρη;
Ἀλλ' ὅταν ἐψηθῇ τι, κὴ ὀπ]ηθῇ κὴ ἁλισθῇ,
Δὴ τότε κὴ ψυχὴν μὴ ἔχον ἐσθίομεν.

LXII.

Ἀδήλω.

Ἡράκλειτος ἐγώ· τί με ὦ κάτω ἕλκετ' ἄμυσοι;
Οὐχ ὑμῖν ἐπόνευν, τοῖς δέ μ' ἐπισ-αμένοις.
Εἷς ἐμοὶ ἄνθρωπος, τρισμύριοι· οἱ δ' ἀνάριθμοι,
Οὐδείς· Ταῦτ' αὐδῶ κὴ παρὰ Φερσεφόνῃ.

LXIII.

ΚΑΛΛΙΜΑΧΟΥ.

Εἶπας, Ἥλιε χαῖρε, Κλεόμβροτος ὠ Ἀμβρακιώτης,
Ἥλατ' ἀφ' ὑψηλῦ τείχεος εἰς Ἀΐδην,
Ἄξιον οὐδὲν ἰδὼν θανάτυ κακὸν, ἀλλὰ Πλάτωνος
Ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

LXIV.

ΣΙΜΩΝΙΔΟΥ.

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτῷ
Ἱππίᾳ Ἀρχεδίκην ἥδε κέκευθε κόνις.
Ἣ πατρός τε καὶ ἀνδρὸς, ἀδελφῶν τ' ὄσα τυράννων,
Παίδων τ', ἐκ ἤρθη νεῦν ἐς ἀτασθαλίην.

LXV.

ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ.

Ἤθελες, ὦ Ζήνων, καλὸν ἤθελες, ἄνδρα τύραννον
Κτείνας, ἐλκύσαι δουλοσύνης Ἐλέαν.
Ἀλλ' ἐδάμης· δὴ γάρ σε λαβὼν ὁ τύραννος ἐν ὅλμῳ
Κόψε· τί τοῦτο λέγω; σῶμα γὰρ, οὐχὶ δέ Σε.

LXVI.

ΑΝΤΙΠΑΤΡΟΥ τοῦ Σιδωνίου.

Τῆνος ὅδε Ζήνων Κιτιεὺς φίλος, ὃς ποτ' Ὄλυμπον
Ἔδραμεν, ἐκ Ὄσσης Πήλιον ἀνθέμενος,
Οὐδὲ τάχ' Ἡρακλῆος ἀέθλια· τὴν δὲ ποτ' ἄκρα
Ἀτραπιτὸν μύνας εὗρε σαοφροσύνας.

LXVII.

ΑΛΦΕΙΟΥ Μιτυληναίου.

Οὐ στέργω βαθυληΐους ἀρούρας,
Οὐκ ὄλβον πολύχρυσον, οἷα Γύγης·
Αὐτάρκως ἔραμαι βίου, Μακρῖνε·
Τὸ μηθὲν γὰρ ἄγαν, ἄγαν με τέρπει.

LXVIII.

ΝΟΣΣΙΔΟΣ.

Αὐτομέλιννα τέτυκται· ἰὼ ὡς ἀγανὸν τὸ πρόσωπον
Ἀμὲ ποτοπ[άνειν μειλιχίως δοκέει·
Ὡς ἐτύμως Θυγάτηρ τᾷ ματέρι πάντα ποτῴκει·
Ἦ καλὸν, ὅκκα τέλει τέκνα γονεῦσιν ἴσα.

LXIX.

ΠΑΥΛΟΥ Σιλεντιαρίου.

Ὄμματα μὲν κύρης μόλις ἡ γραφίς· ὅτε δὲ χαίτην
Οὔτε σέλας χροιῆς ἄκρον ἀπεπλάσατο.
Εἴτις μαρμαρυγὴν δύναται φαεθοντίδα γράψαι,
Μαρμαρυγὴν γράψαι κ᾽ Θεοδωριάδος.

LXX.

ΙΟΥΛΙΑΝΟΥ.

Εἰς Ἴκαρον ἐν λατρῷ.

Ἴκαρε, κηρὸς μέν σε διώλεσε· νῦν δέ σε κηρῷ
Ἤγαγεν εἰς μορφὴν αὖθις ὁ χαλκοτύπος.
Ἀλλ' ἄγε, μὴ πέρα πάλλε κάτ' ἤέρα, μὴ τὸ λατρὸν,
Ἠρόθεν πίπτων, Ἰκάριον τελέσῃς.

LXXI.

ΓΛΑΥΚΟΥ.

Εἰς εἰκόνα Φιλοκτήτου.

Ἐχθρὸς ὑπὲρ Δαναὸς πλάσης ἐμὸς, ἄλλος Ὀδυσεὺς,
Ὃς μ' ἔμνησε κακῆς ἑλομένης τε νόσου.
Οὐκ ἤρκει πέτρη, τρῦχος, λύθρον, ἕλκος, ἀνίη·
Ἀλλὰ καὶ ἐν χαλκῷ τὸν πόνον εἰργάσατο.

LXXII.

ΑΡΧΕΛΑΟΥ, οἱ δὲ, ΑΣΚΛΗΠΙΑΔΟΥ.

Τόλμαν Ἀλεξάνδρου καὶ ὅλαν ἀπεμάξατο μορφὰν
Λύσιππος· τίνι δὴ χαλκὸς ἔχει δύναμιν;
Αὐδάσοντι δ' ἔοικεν ὁ χάλκεος, ἐς Δία λεύσσων,
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι, Ζεῦ· σὺ δ' Ὄλυμπον ἔχε.

LXXIII.

Ἀδήλου.

Αἰεὶ Λαρτιάδῃ πόντος βαρύς· εἰκόνα χεῦμα
Ἔκλυσε, καὶ δέλτων τὸν τύπον ἠφάνισε.
Τί πλέον; εἰν ἐπέεσιν Ὁμηρείοις γὰρ ἐκείνε
Εἰκὼν ἀφθάρτοις ἐγγράφεται σελίσι.

LXXIV.

Ἀδήλου.

Τίς ποθ' ὁ τὸν Τροίης πόλεμον σελίδεσι χαράξας,
Ἢ τίς ὁ τὴν δολιχὴν Λαρτιάδαο πλάνην;
Οὐκ ὄνομ' εὑρίσκω σαφὲς, ἐ πόλιν· Οὐράνιε Ζεῦ,
Μήποτε σῶν ἐπέων δόξαν Ὁμηρος ἔχοι.

LXXV.

ΛΟΥΚΙΑΝΟΥ.

Εἰς τὸ κενόν με τέθεικε, νόμε χάριν, ὧδε Πρίηπον
Εὐτυχίδης, ξηρῶν κληματίδων φύλακα·
Καὶ περιζέζληκαι κρημνὸν βαθύν· ὃς δ' ἂν ἐπέλθῃ,
Οὐδὲν ἔχοι κλέψαι πλὴν ἐμὲ τὸν φύλακα.

LXXVI.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὸν ϖῆηνὸν Ἑρμῆν, τὸν Θεῶν ὑπηρέτην,
Τὸν Ἀρκάδων ἄνακτα, τὸν βοηλάτην,
Ἐϛῶτα τῶνδε γυμνασίων ἐπίσκοπον
Ὁ νυκτοκλέπ[ης Αὖλος εἶπε βαϛάσας,
Πολλοὶ μαθηταὶ κρείττονες διδασκάλων.

LXXVII.

ΒΙΑΝΟΡΟΣ.

Ἔϛησεν Περίανδρος Ἀρίονος εἰκόνα ταύτην,
Καὶ τὸν ἀπολλυμένῳ σύνδρομα νηξάμενον
Εἰνάλιον δελφῖνα· λέγει δ' ὁ π' Ἀρίονι μῦθος,
Κτεινόμεθ' ἀνθρώποις, ἰχθύσι σωζόμεθα.

LXXVIII.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Παρμενὶς ἐκ ἔργῳ· τὸ μὲν ὄνομα καλὸν ἀκέϛας
Ὠϊϛάμην· σὺ δέ μοι ϖικροτέρη θανάτου.
Καὶ φεύγεις φιλέοντα, κ᾽ ἐ φιλέοντα διώκεις,
Ὄφρα πάλιν κεῖνον κ᾽ φιλέοντα φύγῃς.

LXXIX.

ΦΙΛΟΔΗΜΟΥ.

Ψυχή μοι προλέγει φεύγειν πόθον Ἡλιοδώρας,
Δάκρυα κὴ ζήλως τὺς πρὶν ἐπισαμένη.
Φησὶ μέν· ἀλλὰ φυγεῖν ἔ μοι σθένος· ἡ γὰρ ἀναιδὴς
Αὕτη κὴ προλέγει κὴ προλέγουσα φιλεῖ.

LXXX.

ΑΝΤΙΠΑΤΡΟΥ.

Εἰς εὔμορφον κολυμβῶσαν ἐν τῷ Νείλῳ.

Ἁ Κύπρις πρώαν γυμνάν σε βάσανον ἰδοῦσα,
Φεῦ, φεῦ, πῶς σαγόνων ἐκτόθεν ἀρανίων
Ζαλώσας ὠδῖνα θαλάσσιον ὁ θρασὺς ἄλλαν
Νεῖλος ἀπὸ γλυκερῶν Κύπριν ἀνῆκε βυθῶν;

LXXXI.

ΜΟΥΣΙΚΙΟΥ, οἱ δὲ, ΠΛΑΤΩΝΟΣ.

Ἁ Κύπρις Μώσαισι, κοράσια, τὰν Ἀφροδίταν
Τιμᾶτ', ἢ τὸν Ἔρωτ' ὔμμιν ἐφοπλίσομαι.
Χ' αἱ Μῶσαι ποτὶ Κύπριν, Ἄρει τὰ σωμύλα ταῦτα·
Ἡμῖν δ' ἐ πέταται τοῦτο τὸ παιδάριον.

LXXXII.

Εἰς τὴν ἐν Σπάρτῃ ἔνοπλον Ἀφροδίτην.
Ἀδήλου.

Παλλὰς τὰν Κυθέρειαν ἔνοπλον ἔειπεν ἰδοῦσα,
Κύπρι, θέλεις ἔτως ἐς κρίσιν ἐρχόμεθα;
Ἡ δ' ἀπαλὸν γελάσασα, τί μοι σάκος ἀντίον αἴρειν;
Εἰ γυμνὴ νικῶ, πῶς ὅταν ὅπλα λάβω;

LXXXIII.

ΡΟΥΦΙΝΟΥ.

Παλλὰς ἐσαθρήσασα τὴν Ἥρη χρυσοπέδιλον
Μαιονίν, ἐκ κραδίης ἴαχον ἀμφοτέραι,
Οὐκ ἔτι γυμνούμεσθα· κρίσις μία τοιμένον ἀρκεῖ·
Οὐ καλὸν ἡττᾶσθαι δὶς περὶ καλλοσύνης.

LXXXIV.

ΙΩΑΝΝΟΥ τοῦ Βαρβακάλλα.

Εἰς εἰκόνα Συνεσίου σχολαστικοῦ ἐπὶ νίκῃ μάχης ἀνατεθεῖσαν ἐν Βηρητῷ.

Οὐχὶ παρ' Εὐρώτᾳ μόνον ἀνέρες εἰσὶ μαχηταὶ,
Οὐδὲ παρ' Ἰλιασῷ μνάμονές εἰσι δίκας·
Ὡς ἀπὸ τᾶς Σπάρτας, ὡς αὐτᾶς ἀς ὸν Ἀθάνας
Συνέσιον νίκαν τὴν θέμις ἠγάσατο.

LXXXV.

Εἰς στήλην Πορφυρίου τοῦ ἀθλητοῦ ἐν τῷ Ἱπποδρόμῳ Κωνσταντινουπόλεως.

Αὐτὸν Πορφύριον μὲν ἀπηκριβώσατο χαλκῷ
Ὁ πλάστης, ἔμπνουν οἷα τυπωσάμενος.
Τίς δὲ χάριν, τίς ἄεθλα, τίς ἔνθεα δήεται τέχνῃ
Τεύξει κὴ νίκην ἅπτοτ' ἀμειβομένην;

LXXXVI.

Εἰς στήλην Φαυστίνου.

Πρίν σε νέον, Φαυστῖνε, νόος πεφόβητο γερόντων·
Νῦν δέ σε πρεσβυγενῆ καίρτος ἔφριξε νέων.
Δεύτερα δ' εὕρετο πάντα τεὸς πόνος· ὅς σε γεραίρει
Πρέσβυν ἐν ἠθέοις, ἐν δὲ γέρουσι νέον.

LXXXVII.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Ἃ πάρος αἱματόεν πολέμου μένος ἐν δορὶ σάλπιγξ,
Καὶ γλυκὺν εἰράνας ἐκπροχέουσα νόμον,
Ἄγκειμαι, Φερένικε, τεὸν Τριτωνίδι κούρᾳ
Δῶρον, ἐριβρύχων παυσαμένη κελάδων.

LXXXVIII.

ΝΟΣΣΙΔΟΣ.

Ἔντεα Βρέντεοι ἄνδρες ἀπ' αἰνομόρων βάλον ὤμων
Θεινόμενοι Λοκρῶν χερσὶν ὑπ' ὠκυμάχων,
Ὧν ἀρεταὶν ὑμνεῦνται Θεῶν ὑπ' ἀνάκτορα κεῖνται,
Οὐδὲ ποθεῦντι κακῶν πάχεας, ὃς ἔλιπον.

LXXXIX.

ΣΑΒΙΝΟΥ.

Πανὶ Βίτων χίμαρον, Νύμφαις ῥόδα, θύρσα Λυαίῳ,
Τριστὸν ὑπ' εὐπετάλοις δῶρον ἔθηκε φόβαις.
Δαίμονες ἀλλὰ δέχοισθε κεχαρμένοι· αὔξετε δ' αἰεὶ,
Πὰν, ἀγέλην· Νύμφαι, πίδακα· Βάκχε, γάνος.

XC.

ΠΛΑΤΩΝΟΣ.

Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἢ τὸν ἐρώντων
Ἔσμὸν ἐνὶ προθύροις Λαὶς ἔχουσα νέων,
Τῇ Παφίῃ τὸ κάτοπτρον. ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
Οὐκ ἐθέλω. οἵη δ' ἦν πάρος, οὐ δύναμαι.

XCI.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίᾳ.

Γνωτῶν τριοσατίων ἐκ τριοσατίης λίνα θήρης
Δέχνυσο, Πάν· Πίγρης σοι γὰρ ἀπὸ πλερύγων
Ταῦτα φέρει· θηρῶν, Δᾶμις· Κλείτωρ, δὲ θαλάσσης·
Καὶ σφι δὸς εὐαγρεῖν ἤέρα, γαῖαν, ὕδωρ.

XCII.

ΛΟΥΚΙΑΝΟΥ.

Ἀπὸ ναυηγᾶ.

Γλαύκῳ, καὶ Νηρεῖ, καὶ Ἰνοῖ, καὶ Μελικέρτῃ,
Καὶ βυθίῳ Κρονίδῃ, καὶ Σαμόθρηξι θεοῖς,
Σωθεὶς ἐκ πελάγους Λυκίλλιος ὧδε κέκαρμαι
Τὰς τρίχας ἐκ κεφαλῆς· ἄλλο γὰρ οὐδὲν ἔχω.

XCIII.

ΛΕΩΝΙΔΟΥ.

Τὰς θυρεὰς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ
Πύρρος ἀπὸ θρασέων ἐκρέμασεν Γαλατᾶν,
Πάντα τὸν Αὐλιγόνα καθελὼν κρατόν. ἃ μέγα θαῦμα·
Αἰχμηταὶ καὶ νῦν καὶ πάρος Αἰακίδαι.

XCIV.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἡ κόρυς ἀμφοτέρην ἔλαχον χάριν· εἰμὶ δ' ὁρᾶσθαι
Καὶ τερπνὴ φιλίοις, καὶ φόβος ἀντιπάλοις.
Ἐκ δὲ Πυλαιμένεος Πείσων μ' ἔχει· ἔπρεπεν ἄλλαις
Οὔτε κόρυς χαίταις, οὔτε κόμαι κόρυθι.

XCV.

Αἰνιγματώδη.

Εἰς ἔσοπτρον.

Ἂν μ' ἐσίδῃς, κἀγώ σε· τί με βλεφάροισι δέδορκας;
Ἀλλ' ἐγὼ οὐ βλεφάρους, οὐ γὰρ ἔχω βλέφαρα.
Ἂν δ' ἐθέλῃς, λαλέω φωνῆς δίχα, σοὶ γὰρ ὑπάρχει
Φωνή· ἐμοὶ δὲ μάτην χείλεα ἀνοιγόμενα.

XCVI.

Εἰς δέλτον.

Ὕλη μέν με ἔτικτεν, ἐκαινέργει δὲ σίδηρος·
Εἰμὶ δὲ Μουσάων μυστικὸν ἐκδοχίον.
Κλειομένη σιγῶ· λαλέω δ' ὅταν ἐκπετάσῃς με·
Κοινωνὸν τὸν Ἄρη μοῦνον ἔχουσα λόγων.

XCVII.

ΘΕΟΚΡΙΤΟΥ.

Ἄγρεαι κ᾽ ποταμοὶ, θεῖον γένος, αἴ τι Μαναίλκας
Πᾷ ποχ᾽ ὁ συρικτὰς προσφιλὲς ἆσε μέλος,
Βόσκοιτ᾽ ἐκ ψυχᾶς τὰς ἀμνίδας· ἦν δὲ ποκ᾽ ἔνθη
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.

XCVIII.

Ἀμοιβαῖον.

Κρᾶναι κ᾽ βοτάναι, γλυκερὸν φυτὸν, αἵπερ ὁμοῖον
Συρίσδοι Δάφνις ταῖσιν ἀηδονίσι,
Τῦτο τὸ βυκόλιον πιαίνετε· κἦν τι Μεναίλκας
Τᾷδ᾽ ἀγάγοι, χαίρων ἄφθονα πάντα νέμοι.

XCIX.

Τῦ αὐτῦ.

Παντᾶ ἔαρ, παντᾶ δὲ νομοὶ, παντᾶ δὲ γάλακτος
Οὔθατα πλήθυσιν, κ᾽ τὰ νέα τρέφεται,
Ἔνθ᾽ ἃ καλὰ παῖς ἐπινίσσεται· αἰ δ᾽ ἂν ἀφέρπῃ,
Χὠ ποιμὰν ξηρὸς τηνόθι, χ᾽ αἱ βοτάναι.

C.

Ἀμοιβαῖον.

Ἔνθ' ἄϊς, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μέλισσαι
Σμάνεα πληρῶσιν, καὶ δρύες ὑψίτεραι,
Ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰὲ δ' ἂν ἀέρπῃ,
Χὠ τὰς βῶς βόσκων, χ' αἱ βόες αὐότεραι.

CI.

Τῦ αὐτῦ.

Δένδρεσι μὲν χειμὼν φοβερὸν κακὸν, ὕδασι δ' αὐχμὸς,
Ὄρνισιν δ' ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα·
Ἀνδρὶ δὲ παρθενικᾶς ἀπαλᾶς πόθος· ὦ Πάτερ, ὦ Ζεῦ,
Οὐ μόνος ἠράσθην· καὶ τὺ γυναικοφίλας.

I.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ὅσταδιεὺς Ἀρίης ὁ Μενεκλέος ἔ κατελέγχει
Περσέα σὸν κτιςὴν, Ταρσὲ Κίλισσα πόλι.
Τοῖοι γὰρ παιδὸς πληνοὶ πόδες. ἐδ' ἂν ἐκείνῳ
Οὐδ' αὐτὸς Περσεὺς νῶτον ἔδειξε θέων.
Ἢ γὰρ ἐφ' ὑσπλήγλων ἢ τέρματος εἶδέ τις ἄκρε
Ἠίθεον, μέσῳ δ' ἔπος ἐνὶ ςαδίῳ.

II.

ΛΟΥΚΙΛΛΙΟΥ.

Πρὸς τὸν μάντιν Ὄλυμπον Ὀνήσιμος ἦλθ' ὁ παλαιςὴς,
Καὶ πένταθλος Ὕλας, καὶ ςαδιεὺς Μενεκλῆς,
Τίς μέλλει νικᾶν αὐτῶν τὸν ἀγῶνα, θέλοντες
Γνῶναι· κἀκεῖνος τοῖς ἱεροῖς ἐνιδών,
Πάντες, ἔφη, νικᾶτε· μόνον μήτις σε παρέλθῃ,
Καί σε παραςρέψῃ, καί σε παρατροχάσῃ.

III.

ΦΙΛΙΠΠΟΥ, οἱ δὲ, ΙΣΙΔΩΡΟΥ.

Πηρὸς ὁ μὲν γήοις, ὁ δ' ἄρ' ἔμμασιν· ἀμφότεροι δὲ
Εἰς αὐτὺς τὸ τύχης ἐνδεὲς ἠράνισαν.
Τυφλὸς γὰρ λιπόγυον ἐπωμάδιον βάρος αἴρων,
Ταῖς κείνυ φωναῖς ἀτραπὸν ὠρθοδάτει.
Πάντα δὲ ταῦτ' ἐδίδαξε πικρὴ πάντολμος ἀνάγκη,
Ἀλλήλοις μερίσαι τἐλλιπὲς εἰς ἔλεον.

IV.

ΠΑΛΛΑΔΑ.

Φεῦγε Λάκων ποτὲ δῆριν· ὑπαντιάσασα δὲ μήτης
Εἶπε, κατὰ ς έρνων ἄορ ἀνασχομένη,
Ζώων μὲν σέο ματρὶ διαμπερὲς αἶσχος ἀνάπλεις,
Καὶ κρατερᾶς Σπάρτας πάτρια θεσμὰ λύεις.
Ἢν δὲ θάνῃς παλάμῃσιν ἐμαῖς, μάτηρ μὲν ἀκύσω
Δύσμορος, ἀλλ' ἐν ἐμῇ πατρίδι σωζομένα.

V.

ΦΙΛΙΠΠΟΥ.

Πυλὺ Λεωνίδεω κατιδὼν ὅπλας αὐτοδάϊκτον
Ξέρξης, ἐχλαίνυ φάρεϊ πορφυρέῳ.

Καὶ

Καὶκ νεκύων δ' ἤχησεν ὁ τᾶς Σπάρτας μέγας ἥρως,
Οὐ δέχομαι προδόταις μισθὸν ὀφειλόμενον.
Ἀσπίς μοι τύμβε κόσμος μέγας· ἔρρε τὰ Περσῶν,
Ἥξω κ' εἰς Ἀΐδην ὡς Λακεδαιμόνιος.

VI.

Ἀδήλε.

Ἐλθὼν εἰς Ἀΐδην, ὅτε δὴ σοφὸν ἤνυσε γῆρας,
Διογένης ὁ Κύων Κροῖσον ἰδὼν ἐγέλα·
Καὶ σρώσας ὁ γέρων τὸ τριβώνιον ἐγγὺς ἐκείνε,
Τᾷ πολὺν ἐκ ποταμᾶ χρυσὸν ἀφυσαμένε,
Εἶπεν, ἐμοὶ κ' νῦν πλείων τόπος· ὅσα γὰρ εἶχον,
Πάντα φέρω σὺν ἐμοὶ, Κροῖσε, σὺ δ' ἀδὲν ἔχεις.

VII.

ΑΝΤΙΦΙΛΟΥ Βυζαντίε.

Ἡ πήρη κ' χλαῖνα κ' ὕδατι πιληθεῖσα
Μᾶζα, κ' ἡ πρὸ ποδῶν ῥάβδος ἐρειδομένη,
Καὶ δέπας ἐκ κεράμοιο, σοφῷ Κυνὶ μέτρα βίοιο
Ἄρκια· κ' ἦν τούτοις ἦν τι περισσότερον·
Κοίλαις γὰρ πόμα χερσὶν ἰδὼν ἀρύοντα βοώτην
Εἶπε, τί καί σε μάτην ὄρρακον ἠχθοφόρεν;

VIII.

ΠΑΛΛΑΔΑ.

Εἰπὲ πόθεν σὺ μετρεῖς κόσμον κ᾽ πείρατα γαίης,
Ἐξ ὀλίγης γαίης σῶμα φέρων ὀλίγον.
Σαυτὸν ἀρίθμησον πρότερον, κ᾽ γνῶθι σεαυτόν·
Καὶ τότ᾽ ἀριθμήσεις γαῖαν ἀπειρεσίην.
Εἰ δ᾽ ὀλίγου πηλοῦ τε σώματος ἐ καταριθμοῖς,
Πῶς δύνασαι γνῶναι τῶν ἀμέτρων τὰ μέτρα;

IX.

Ἀδήλε.

Ἤθελον ἂν πλουτεῖν ὡς πλούσιος ἦν ποτε Κροῖσος,
Καὶ βασιλεὺς εἶναι τῆς μεγάλης Ἀσίης·
Ἀλλ᾽ ὅταν ἐμβλέψω Νικάνορα τὸν σοροπηγὸν,
Καὶ γνῶ πρὸς τί ποιεῖ ταῦτα τὰ γλωσσόκομα,
Ἀκτὴν πε πάσας, κ᾽ ταῖς κοτύλαις ὑποβρέξας,
Τὴν Ἀσίαν πωλῶ πρὸς μύρα κ᾽ σεφάνες.

X.

ΛΟΥΚΙΛΛΙΟΥ.

Θνήσκων Ἑρμοκράτης ὁ φιλάργυρος, ἐν διαθήκαις
Αὐτὸν τῶν ἰδίων ἔγραφε κληρονόμον.

Ψηφίζων

Ψηφίζων δ' ἀνέκειτο, πόσον δώσει διεγερθεὶς
Ἰητροῖς μισθὸν, ἢ τὶ νοσῶν δαπανᾷ.
Ὡς δ' εὗρε πλείω δραχμὴν μίαν, ἣν διασωθῇ,
Λυσιτελεῖ ζῆσκειν, εἶπε· καὶ ἐξετάθη.

XI.

Ἀδήλου.

Ἥμην ἀχρεῖον κάλαμος φυτόν· ἐκ γὰρ ἐμειῦ
Οὐ σῦκ', ἀ μῆλον φύεται, ἀ σταφυλή.
Ἀλλά μ' ἀνὴρ ἐμύησ' Ἑλικωνίδα, λεπτὰ τορήσας
Χείλεα, καὶ σεινὸν ῥῆν ὀχετευσάμενον.
Ἐκ δὲ τοῦ, εὖτε πίοιμι μέλαν ποτὸν, ἔνθεον οἶα,
Πᾶν ἔπος ἀφθέγκτῳ τῷδε λέγω σόματι.

XII.

ΑΝΤΙΠΑΤΡΟΥ, οἱ δὲ, ΠΛΑΤΩΝΟΣ.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσαν
Παισὶ λιθοβλήτῳ παίγνιον εὐσταχίης.
Πάντας δ' ἀκρεμονάς τε καὶ εὐθαλέας ὀροδάμνους
Κέκλασμαι, πυκιναῖς χερμάσι βαλλομένη.
Δένδρεσιν εὐκάρποις ὅδ' ἦν πλέον· ἦ γὰρ ἔγωγε
Δυσδαίμων ἔπ' ἐμὴν ὕβριν ἐκαρποφόρουν.

XIII.

ΑΝΤΙΠΑΤΡΟΥ.

Αὔην με πλατάνιστον ἑφερπύζουσα καλύπτει
Ἄμπελος, ὀθνείη δ' ἀμφιτέθηλα κόμη,
Ἣ πρὶν ἐμοῖς θαλέθουσιν ἐνιτρέψασ' ὀροδάμνοις
Βότρυας, ἡ ταύτης ἐκ ἀπετηλοτέρη.
Τοίην μέντοι ἔπειτα τιθηνείσθω τὶς ἑταίρην,
Ἥτις ἀμείψασθαι κὴ νέκυν οἶδε μόνη.

XIV.

ΚΑΛΛΙΝΙΟΥ.

Ἡ πάρθ. ἐν δρυμοῖσι νόθης ζείδωρος ὀπώρης
Ἄχρας, θηροβότου πρέμνον ἐρημοσύνης,
Ὀθνείοις ὄζοισι μετέμφυτος, ἤμερα θάλλω
Οὐκ ἐμὸν ἡμετέροις κλωσὶ φέρουσα βάρος.
Πολλή σοι, φυτοεργὲ, πόνου χάρις· εἵνεκα σεῖο
Ἀχρὰς ἐν εὐκάρποις δένδρεσιν ἐγράφομαι.

XV.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἰοτυπὴς Διὸς ὄρνις ἐτίσατο Κρῆτα φαρέτρης,
Οὐρανόθεν τόξῳ τόξου ἀμυνόμενος.

Κεῖνον

Κεῖνον δ' εὐθὺς ἄκοντι παλινδρομέοντι κατέκτα·
Ἠρόθεν πίπτων δ' ἔκτανεν, ὡς ἔθανεν.
Μηκέτ' ἐφ' ὑμετέροις ἀψευδέσι, Κρῆτες, οἴοις
Αὐχεῖθ', ὑμνείσθω Διὸς εὐσοχίη.

XVI.

ΠΟΛΥΑΙΝΟΥ.

Δορκάδος ἀρτιτόκοιο τιθηνητήριον ἅθαρ
Ἔμπλεον εἰδῦσα, πικρὸς ἔτυψεν ἔχις·
Νεβρὸς δ' ἰομιγῆ θηλὴν σπάσε, καὶ τὸ δυσαλθὲς
Τραύματος ἐξ ὁλοῦ λυγρὸν ἔβρωξε γάλα.
Ἄδην δ' ἠλλάξαντο· καὶ αὐτίκα νηλέϊ μοίρῃ,
Ἣν ἔπορεν γαστὴρ, μαστὸς ἀφεῖλε χάριν.

XVII.

ΓΕΡΜΑΝΙΚΟΥ Καίσαρος.

Οὔρεος ἐξ ὑπάτοιο λαγὼς πέσεν ἔς ποτε βένθος,
Ἐκπροφυγεῖν μεμαὼς τρηχὺν ὀδόντα κυνός·
Ἀλλ' ὃ δ' ὡς ἤλυξε κακὸν μόρον· αὐτίκα γάρ μιν
Εἰνάλιος μάρψας πνεύματος ὠρφάνισεν.
Ἐκ πυρὸς ὡς αἶνῶς πέσες ἐς φλόγας· ἦ ῥά σε δαίμων
Κὴν αὐλὶ, κὴν χέρσῳ θρέψε κύνεσσι βορήν.

XVIII.

ΑΝΤΙΠΑΤΡΟΥ.

Εὔκολος Ἑρμείας, ὦ ποιμένες, ἢν δὲ γάλακτι
Χαίρων κ᾽ δρυΐνῳ σπενδόμενος μέλιτι·
Ἀλλ᾽ οὐχ Ἡρακλέης· ἔνεα δὲ κτίλον, ἢ παχὺν ἄρνα
Αἰτεῖ, κ᾽ πάντως ἢν θύος ἐκλέγεται.
Ἀλλὰ λύκος εἴργει· τί δὲ τὸ πλέον, εἰ τὸ φυλαχθὲν
Ὄλλυται, εἴτε λύκοις, εἴθ᾽ ὑπὸ τῦ φύλακος;

XIX.

Ἀδήλυ.

Ἄτθὶ κόρα, μελίθρεπτε, λάλος λάλον ἁρπάξασα
Τέτιγ᾽ ἀπτάνοις δαῖτα φέρεις τέκεσι.
Τὸν λάλον ἀ λαλόεσσαν· τὴν εὔπτερον ἀ πτερόεσσαν·
Τὸν ξένον ἀ ξείνα· ἀρινὸν ἠερινὰ
Οὐχὶ τάχος ῥίψεις; ἀ γὰρ θέμις, οὐδὲ δίκαιον
Ὄλλυσθ᾽ ὑμνοπόλυς ὑμνοπόλοις γόμασι.

XX.

ΑΛΦΕΙΟΥ.

Χειμερίαις νιφάδεσσι παλυνομένα τιθαὶς ὄρνις,
Τέκνοις εὐναίας ἀμφέχεε πτέρυγας,

Μέσφά μιν ἠράνιον κρύϛ. ὤλεσεν. ἦ γὰρ ἔμειναν
Αἰθέρϛ. ἠρανίων ἀντίπαλϛ. νεφέων.
Πρόκνη κ᾽ Μήδεια κατ᾽ ἄϊδϛ. αἰδέσθητε
Μητέρες, ὀρνίθων ἔργα διδασκόμεναι.

XXI.

Ἀδήλω.

Εἰ μὲν ἐπ᾽ ἀτ[ελαίβυς ἄγεται ϛρατὸς, ἢ κυνομύας,
Ἢ μύας, ἢ ψυλλῶν ἱππικὸν, ἢ βατράχων,
Γάϊε, κ᾽ σὺ φοβῦ μὴ κ᾽ σέ τις ἐγκαταλέξῃ,
Ὡς ἂν τῆς τύτων ἄξιον ὄνται μάχης·
Εἰ δ᾽ ἀρετῆς ἀνδρῶν ἄγεται ϛρατὸς, ἀτρέμας ἧσο·
Ῥωμαίοις ἐδεὶς πρὸς γεράνυς πόλεμος.

XXII.

Ἀδήλω.

Κοινῇ παὶρ κλισίῃ ληθαργικὸς ἠδὲ φρενοπλὴξ
Κείμενοι, ἀλλήλων νῶσον ἀπεσκέδασαν.
Ἐξέθορε κλίνης γὰρ ὁ τολμήεις ὑπὸ λύσσης,
Καὶ τὸν ἀναίσθητον παντὸς ἔτυψε μέλος·
Πληγαὶ δ᾽ ἀμφοτέροις ἐγένοντ᾽ ἄκος· αἷς ὁ μὲν αὐτῶν
Ἔγρετο, τὸν δ᾽ ὕπνῳ πικλὺς ἔριψε κόπος.

XXIII.

ΑΝΤΙΠΑΤΡΟΥ.

Γράμμαι τόδ' Ἀρήτοιο δαήμονος, ὅς ποτε λεπτῇ
Φροντίδι δηναιὰς ἀστέρας ἐφράσατο,
Ἀπλανέας τ' ἄμφω καὶ ἀλήμονας, οἷσιν ἐναργὴς
Ἀλλόμενος κύκλοις οὐρανὸς ἐνδέδεται.
Αἰνείσθω δὲ καμὼν ἔργον μέγα, καὶ Διὸς εἶναι
Δεύτερος, ὅστις ἔθηκ' ἄστρα φαεινότερα.

XXIV.

Τοῦ αὐτοῦ.

Θεογένης Πείσωνι τὰ τεχνήεντα κύπελλα
Πέμπει· χωρεῖμεν δ' οὐρανὸν ἀμφότερα.
Δοιαὶ γὰρ ἐκ σφαίρης τετμήμεθα· καὶ τὸ μὲν ἡμῶν
Τὰς νοτίους, τὸ δ' ἔχει τείρεα ταὶν βορέῃ.
Ἀλλὰ σὺ μηκέτ' ἐς Ἄρκτον ἐπίβλεπε· δοιαὶ δ' ἐν ἀμφοῖν
Μέτραι πιὼν, ἄθρει πάντα τὰ φαινόμενα.

XXV.

Ἀδήλου.

Εἰς λάγηνον.

Στρογγύλη, εὐτόρνευτε, μονόατε, μακροτράχηλε,
Ὑψαύχην, στείνῳ φθεγγομένη στόματι,

Βάκχου

Βάκχε, καὶ Μουσῶν ἱερὴ λάτρι, καὶ Κυθερείης,
Ἡδυγέλως, τερπνὴ συμβολικῶν ταμίη,
Τίφθ', ὁπόταν νήφω, μεθύεις σύ μοι, ἢν δὲ μεθυσθῶ,
Ἐκνήφεις; αἰδεῖς συμποτικὴν φιλίην.

XXVI.

ΑΝΤΙΦΑΝΟΥΣ.

Ἡ πάρος εὐϋδροισι λιβαζομένη προχοῆσι,
Πτωχὴ νῦν νυμφῶν μέχρι καὶ εἰς σαγόνα.
Λυθρώδεις γὰρ ἐμοῖσιν ἐνίψατο νάμασι χεῖρας
Ἀνδροφόνος, κηλῖδ' ὕδασιν ἐγκεράων·
Ἐξ οὗ μοι κεῖραι φύγον ἥλιον, εἰς ἕνα Βάκχον
(Εἰπεῖσαι) νύμφαι μισγόμεθ', οὐκ ἐς Ἄρη.

XXVII.

ΕΥΗΝΟΥ.

Ξεῖνοι, τὴν περίβωτον ἐμὲ πτόλιν, Ἴλιον ἱρὴν,
Τὴν πάρος εὐπύργοις τείχεσι κληζομένην,
Αἰῶνος τέφρη κατεδήδοκεν· ἀλλ' ἐν Ὁμήρῳ
Κεῖμαι, χαλκείων ἔρκος ἔχουσα πυλῶν.
Οὐκ ἔτι με σκάψει Τρωοφθόρα δίρατ' Ἀχαιῶν·
Πάντων δ' Ἑλλήνων κείσομαι ἐν στόμασιν.

XXVIII.

ΓΕΡΜΑΝΙΚΟΥ.

Ἕκτορ, ἀρήϊον αἷμα, μετὰ χθονὸς εἶπε ἀκύεις,
Χαῖρε, καὶ ἄμπνευσον βαιὸν ὑπὲρ πατρίδος.
Ἴλιον οἰκεῖται, κλεινὴ πόλις, ἄνδρας ἔχουσα
Σοῦ μὲν ἀφαυροτέρους, ἀλλ' ἔτ' ἀρηϊφίλους.
Μυρμιδόνες δ' ἀπόλοντο· πατρίς σασο, καὶ λέγ' Ἀχιλλεῖ
Θεσσαλίην κεῖσθαι πᾶσαν ὑπ' Αἰνεάδαις.

XXIX.

ΚΕΡΕΑΛΙΟΥ.

Οὐ τὸ λέγειν παράσημα καὶ Ἀτθικὰ ῥήματα πέντε,
Εὐζήλως ἐς ἐν καὶ Φρονίμως μελετᾷν.
Οὐδὲ γὰρ εἰ κάρκαιρε, καὶ εἰ κοναβεῖ, τό τε σίζει,
Καὶ κελάρυζε, λέγεις, εὐθὺς Ὁμηρος ἔσῃ.
Νῦν ὑποκεῖσθαι δεῖ τοῖς γράμμασι, καὶ φράσιν αὐτῶν
Εἶναι κοινοτέραν, ὥς ε νοεῖς ἃ λέγεις.

XXX.

ΗΡΟΔΙΚΟΥ Βαβυλωνίου.

Φεύγετ', Ἀρις άρχειοι, ἐπ' εὐρέα νῶτα θαλάσσης
Ἑλλάδα, τῆς ξυθῆς δειλότεροι κεμάδος·

Γωνια-

Γωνιοβόμβυκες, μονοσύλλαβοι, οἷσι μέμηλε
Τὸ σφὶν κ᾽ σφῶϊν, κ᾽ τὸ μὶν, ἠδὲ τὸ νίν.
Τῶθ᾽ ὑμῖν εἴη δυσπέμφελον· Ἡροδίκῳ δὲ
Ἑλλὰς ἀεὶ μίμνοι κ᾽ θεόπαις Βαβυλών.

XXXI.

Εἰς τὴν Ἀπολλοδώρου βιβλιοθήκην.

Αἰώνων σπείρημα ἀφυσταμένος ἀπ᾽ ἐμεῖο
Παιδείης μύθους γνῶθι παλαιγενέας.
Μήδ᾽ ἐς Ὁμηρείην σελίδ᾽ ἔμβλεπε, μηδ᾽ ἐλεγείην,
Μὴ τραγικὴν μῶσαν, μήδε μελογραφίην,
Μὴ κυκλίων ζήτει πολύθρυλλον στίχον· εἰς ἐμὲ δ᾽ ἀθρῶν
Εὑρήσεις ἐν ἐμοὶ πάνθ᾽ ὅσα κόσμος ἔχει.

XXXII.

ΑΘΗΝΑΙΟΥ.

Ἄνθρωποι, μοχθεῖτε τί χείρονα, κ᾽ διὰ κέρδος
Ἄπλησον νεικέων ἄρχετε κ᾽ πολέμων;
Τῆς φύσιος δ᾽ ὁ πλοῦτος ὅρον τινὰ βαιὸν ἐπίσχει,
Αἱ δὲ κεναὶ κρίσιες τὴν ἀπέραντον ὁδόν.
Τοῦτο Νεοκλῆος πινυτὸν τέκος ἢ παρὰ Μουσῶν
Ἔκλυεν, ἢ Πυθοῦς ἐξ ἱερῶν τριπόδων.

XXXIII.

Ἀδήλου.

Τὸν βίον, Ἡράκλειτε, πολὺ πλέον, ἢπερ ὅτ' ἔζης,
Δάκρυε· νῦν ὁ βίος ἐς ἐλεεινότερος.
Τὸν βίον ἄρτι γέλα, Δημόκριτε, τὸ πλέον ἢ πρίν·
Νῦν ὁ βίος πάντων ἐς τὶ γελοιότερος.
Εἰς ὑμέας δὲ κἠ αὐτὸς ὁρῶν, τὸ μεταξὺ μεριμνῶ
Πῶς ἅμα σοὶ κλαύσω, πῶς ἅμα σοὶ γελάσω.

XXXIV.

ΚΑΡΠΥΛΛΙΔΟΥ.

Ἰχθύας ἀγκίστρῳ τὶς ἀπ' ἠόνος εὐτριχι βάλλων,
Εἵλκυσε ναυηγῦ κρᾶτα λιποτριχέα.
Οἰκτείρας δὲ νέκυν τὸν ἀσώματον, ἐξ ἀσιδήρου
Χειρὸς ἐπισκάπτων λιτὸν ἔχωσε τάφον.
Εὗρε δὲ κευθόμενον χρυσῦ κτέαρ· ἦ ῥα δικαίοις
Ἀνδράσιν εὐσεβίης ἐκ ἀπόλωλε χάρις.

XXXV.

ΑΡΧΙΟΥ.

Ἓν ποτε παμφαίνοντι μελάντερος αἰθέρι νωμᾶν
Σκορπίον ἐκ γαίης εἶδε θροόντα κόραξ.

Ὃν

Ὃν μάρψας ὤρσεν· ὁδ' αἰζηντ@· ἐπ' ὕδας
Οὐ βραδὺς εὐκέντρῳ πέζαν ἔτυψε βέλει,
Καὶ ζωῆς μιν ἄμερσεν· ἰὼ ὅσον ἔτευχεν ἐπ' ἄλλῳ,
Ἐκ κείνω τλήμων αὐτὸς ἔδεκτο μόρον.

XXXVI.

ΓΑΙΤΟΥ.

Παῖδα πατὴρ Ἄλκων ὁλοῷ σφιγχθέντα δράκοντι.
Ἀθρήσας, δειλῇ τόξον ἔκαμψε χερί.
Θηρὸς δ' ἐκ ἀφάμαρτε· διὰ στόματος γὰρ ὀϊστὸς
Ἧιξεν, τυτθῷ βαιὸν ὕπερθε βρέφους.
Παυσάμεν@· δὲ φόνοιο, παρὰ δρυὶ τῇδε φαρέτρην,
Σῆμα κὴ εὐτυχίης θῆκε κὴ εὐστοχίης.

XXXVII.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Νῆά σοι, ὦ πόντε βασιλεῦ κὴ κοίρανε γαίης,
Ἀντίθεμαι Κράντος μηκέτι τεγλομένην·
Νῆα, πολυπλανέων ἀνέμων πλέρον, ἧς ἐπὶ δειλὸς
Πολλάκις ὠϊσάμην εἰσελάαν ἀΐδην.
Πάντα δ' ἀπειπάμενος φόβον, ἐλπίδα, πόντον, ἄελλας,
Πιστὸν ὑπὲρ γαίης ἴχνιον ἡδρασάμην.

XXXVIII.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων Αἰγυπτίου.

Λαῖς ἀμαλδυνθεῖσα χρόνῳ περικαλλέα μορφὴν,
Γηραλέην συγέει μαρτυρίην ῥυτίδων.
Ἔνθεν πικρὸν ἔλεγχον ἀπεχθήρασα κατόπτρου,
Ἄνθετο δεσποίνῃ τῆς πάρος ἀγλαΐης.
Ἀλλὰ σύ μοι, Κυθέρεια, δέχου νεότητος ἑταῖρον
Δίσκον, ἐπεὶ μορφὴ σὴ χρόνον ἀ τρομέει.

XXXIX.

ΛΕΩΝΙΔΟΥ.

Εἶπέ ποτ' Εὐρώτας ποτὶ τὰν Κύπριν, ἦ λάβε τύχη,
Ἢ ξίθι τᾶς Σπάρτας· ἃ πύλις ἔπλομανεῖ.
Ἁ δ' ἀπαλὸν γελάσασα, κὠ ἔσομαι αἰὲν ἀτευχὴς,
Εἶπε, κὠ οἰκήσω τὰν Λακεδαιμονίαν.
Χὠ μὲν Κύπρις ἄνοπλος· ἀναιδέες οἱ δὲ λέγουσιν
Ἴσορες, ὡς ἁμῖν χὠ θεὸς ὁπλοφορεῖ.

XL.

ΑΝΤΙΠΑΤΡΟΥ Σιδωνίου.

Γὰν ἀναδυομέναν ἀπὸ μητέρος ἄρτι θαλάττας
Κύπριν, Ἀπελλείης μόχθον ὅρα γραφίδος·

Ὡς

Ὡς χερὶ συμμάρψασα διάβροχον ὕδατι χαίτην,
Ἐκθλίβει νοτερῶν ἀφρὸν ἀπὸ πλοκάμων.
Αὐταὶ νῦν ἐρέουσιν Ἀθηναίη τε καὶ Ἥρη,
Οὐκ ἔτι σοι μορφᾶς εἰς ἔριν ἐρχόμεθα.

XLI.

ΜΟΣΧΟΥ.

Λαμπάδα θεὶς καὶ τόξα, βοηλάτιν εἵλετο ῥάβδον
Οὖλος Ἔρως, πήρην δ' εἶχε κατωμαδίην.
Καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων,
Ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον.
Εἶπε δ' ἄνω βλέψας αὐτῷ Διΐ, πρῆσον ἀρούρας,
Μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.

XLII.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Ἕλκος ἔχω τὸν ἔρωτα· ῥέει δέ μοι ἕλκεος ἰχὼρ
Δάκρυον, ὠτειλῆς ἔμποτε τερσομένης.
Εἰμὶ καὶ ἐκ κακότητος ἀμήχανος· ἀλλὰ Μαχάων
Ἤπιά μοι πάσσει φάρμακα δευομένῳ.
Τήλεφός εἰμι, κόρη· σὺ δὲ γίνεο πρὶν ποθ' Ἀχιλλεύς·
Καίλλει σῷ παῦσον τὸν πόθον, ὡς ἔβαλες.

XLIII.

Τῦ αὐτῦ.

Τὴν Νιόβην κλαίυσαν ἰδὼν ποτε βυκόλος αἰνὴρ,
Θάμβεεν εἰ λείβειν δάκρυσιν οἶδε λίθος.
Αὐτὰρ ἐμὲ σπαράχοντα τόσης κατὰ νυκτὸς ἐμίχλην
Ἔμπνος· Εὐίππης ἦκε λέαιρε λίθος.
Αἴτιος ἀμφοτέροισιν ἔρως, ὀχετηγὸς ἀνίης,
Τῇ Νιόβῃ τεκέων, αὐταὶ ἐμοὶ παιδέων.

XLIV.

ΦΙΛΟΔΗΜΟΥ, οἱ δὲ, ΠΛΑΤΩΝΟΣ.

Ἠράσθης πλυτῶν, Σωσίκρατες· ἀλλὰ πένης ὢν,
Οὐκ ἔτ' ἐρᾷς· λιμὸς φάρμακον οἷον ἔχει·
Ἡ δὲ πάρος σε καλοῦσα μύρον καὶ τερπνὸν Ἄδωνιν
Μηνοφίλα, νῦν τοι τοῦνομα συνθάνεται.
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις; ἢ μόλις ἔγνως
Τοῦτ' ἔπος, ὡς ὐδεὶς ὐδὲν ἔχοντι φίλος.

XLV.

ΡΟΥΦΙΝΟΥ.

Πέμπω σοὶ, Ῥοδόκλεια, τόδε στέφος ἄνθεσι πλέξας,
Αὐτὸς ὑφ' ἡμετέραις δρεψάμενος παλάμαις.

Ἔστι κρίνον, ῥοδέη τε κάλυξ, νοτερή τ' ἀνεμώνη,
Καὶ νάρκισσος ὑγρὸς, καὶ κυαναυγὲς ἴον.
Ταῦτα σεψαμένη, λῆξον μεγάλαυχος ἐοῦσα·
Ἀνθεῖς, καὶ λήγεις καὶ σὺ, καὶ ὁ στέφανος.

XLVI.

Ἀδήλου.

Νῦν μοι, χαῖρε, λέγεις, ὅτε σε τὸ πρόσωπον ἀπῆλθε,
Κεῖνο τὸ τῆς λύγδου, βάσκανε, λειότερον.
Νῦν μοι προσπαίζεις, ὅτε τὰς τρίχας ἠφάνικάς σε,
Τὰς ἐπὶ τοῖς σοβαροῖς αὐχένσι πλαζομένας.
Μηκέτι μοι, μετέωρε, προσέρχεο μηδὲ συνάντα·
Ἀντὶ ῥόδε γὰρ ἐγὼ τὴν βάτον ἃ δέχομαι.

XLVII.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὴν κεφαλὴν βάπτεις, γῆρας δὲ σὸν ὅπποτε βάψεις,
Οὐδὲ παρειάων ῥυτίδας ἐκτανύσεις.
Μὴ τοίνυν τὸ πρόσωπον ἅπαν ψιμύθῳ καταπλάττε,
Ὡς τε προσωπεῖον, κ' οχὶ πρόσωπον, ἔχειν.
Οὐδὲν γὰρ πλέον ἐστί· τί μαίνεαι; ὅππότε φῦκος
Καὶ ψίμυθος τεύξει τὴν Ἑκάβην Ἑλένην.

XLVIII.

ΡΟΤΦΙΝΟΥ.

Ἤρισαν ἀλλήλαις Ῥοδόπη, Μελίτη, Ῥοδόκλεια,
Τῶν τριστῶν τίς ἔχει κάλλος ἀρειότερον·
Καί με κριτὴν εἵλοντο· κὴ ὡς θεαὶ αἱ περίβλεπτοι
Ἔστησαν, μύνῳ νέκταρι λειπόμεναι.
Ἀλλὰ σαφῶς ἆ πέπονθε Πάρις διὰ τὴν κρίσιν εἰδὼς,
Τὰς τρεὶς ἀθανάτας εὐθὺ συνεξεφάνευ.

XLIX.

ΚΑΛΛΙΜΑΚΟΥ.

Ὠγρευτὴς, Ἐπικυδὲς, ἐν ὕρεσι πάντα λαγωὸν
Διφᾷ, κὴ πάσης ἴχνια δορκαλίδος,
Στίβῃ κὴ νιφετῷ κεχαρημένος· ἢν δέ τις εἴπῃ,
Τῇ, τόδε βέβληται θηρίον, ἐκ ἔλαβεν.
Χ' ἐμὸς ἔρως τοιόσδε· τὰ μὲν φεύγοντα διώκειν
Οἶδε, τὰδ' ἐν μέσῳ κείμενα παρπέταται.

L.

Ἀδήλυ.

Γήραϊ κὴ πενίῃ τετρυμένος, ὐδ' ὀρέγοντος
Οὐδενὸς; ἀνθρώπυ δυσυχίης ἔρανον,

Τοῖς

Τοῖς τρομεροῖς κώλοισιν ὑπήλυθον ἠρέμα τύμβον·
Εὗρον ὀϊζυρῷ τέρμα μόλις βιότῳ.
Ἠλλάχθη δ' ἐπ' ἐμοὶ νεκύων νόμος· ἢ γὰρ ἔθνησκον
Πρῶτον, ἔπειτ' ἐτάφην, ἀλλὰ ταφεὶς ἔθανον.

LI.

ΕΤΡΟΥΣΚΟΥ Μεσηνίου.

Ἡ μία κὴ βιότοιο κὴ αἴσιος ἤγαγεν εἴσω
Ναῦς Ἱεροκλείδην, κοινὰ λαχοῦσα τέλη.
Ἔτρεφεν ἰχθυολεῦντα, κατέφλεγε τεθνειῶτα,
Σύμπλοος εἰς ἄγρην, σύμπλοος εἰς αἶδην.
Ὄλβιος ὁ γριπεὺς ἰδίῃ κὴ πόντον ἐπέπλει
Νηΐ, κὴ ἐξ ἰδίης ἔδραμεν εἰς αἶδην.

LII.

ΙΟΥΛΙΑΝΟΥ.

Σῆμα τόδ' Ἀρχιλόχου παραπόντιον, ὅς ποτε πικρὴν
Μοῦσαν ἐχιδναίῳ πρῶτος ἔβαψε χόλῳ,
Αἰμαίξας Ἐλικῶνα τὸν ἤμερον· οἶδε Λυκάμβης,
Μυρόμενος τριστῶν ἄμμιγα θυγατέρων.
Ἠρέμα δὴ παράμειψον, ὁδοιπόρε, μήποτε τοῦδε
Κινήσῃς τύμβῳ σφῆκας ἐφεζομένους.

LIII.

ΙΩΝΟΣ.

Εἰ κ᾽ δακρυόεις, Εὐριπίδη, εἱλέ σε πότμος,
Καί σε λυκορ῾ραῖ῀σαι δεῖπνον ἔθεντο κύνες,
Τὸν σκηνῇ μελίγηρυν ἀηδόνα, κόσμον Ἀθηνῶν,
Τὸν σοφίῃ τραγικὴν μιξάμενον χάριτα,
Ἀλλ᾽ ἔμολες Πελλαῖον ὑπ᾽ ἠρίον, ὡς ἂν ὁ λάτρις
Πιερίδων ναίῃς ἀγχόθι Πιερίδων.

LIV.

Τῦ αὐτῦ.

Μνᾶμα μὲν Ἑλλὰς ἅπασ᾽ Εὐριπίδυ, ὀστέα δ᾽ ἴσχει
Γῆ Μακεδών· ἦ γὰρ δέξατο τέρμα βίυ.
Πατρὶς δ᾽ Ἑλλάδος Ἑλλὰς, Ἀθῆναι· πλεῖ῀σα δὲ Μύσας
Τέρψας, ἐκ πολλῶν κ᾽ τὸν ἔπαινον ἔχει.
Οὐ σὸν μνῆμα τόδ᾽ ἐ῀ς᾽, Εὐριπίδη, ἀλλὰ σὺ τῦδε·
Τῇ γὰρ σῇ δόξῃ μνῆμα τόδ᾽ ἀμπέχεται.

LV.

ΚΑΛΛΙΜΑΧΟΥ.

Εἶπέ τις, Ἡράκλειτε, τεὸν μόρον, ἐς δέ με δάκρυ
Ἤγαγεν· ἐμνήσθην δ᾽ ὁσσάκις ἀμφότεροι
Ἥλιον

Ἥλιον ἐν λέσχῃ κατεδύσαμεν· ἀλλὰ σὺ μέν πω,
Ξεῖν' Ἀλικαρνασσεῦ, τετράπαλαι σποδιή·
Αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ἧσιν ὁ πάντων
Ἁρπακτὴρ Ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

LVI.

Τοῦ αὐτοῦ.

Ἠῷοι Μελάνιππον ἐθάπτομεν, ἠελίῳ δὲ
Δυομένῳ Βασιλὼ κάτθανε παρθενικὴ
Αὐτοχερί· ζώειν γὰρ, ἀδελφεὸν ἐν πυρὶ θεῖσα,
Οὐκ ἔτλη· δίδυμον δ' οἶκος ἐσεῖδε κακὸν
Πατρὸς Ἀριστίπποιο· κατήφησεν δὲ Κυρήνη
Πᾶσα, τὸν εὔτεκνον χῆρον ἰδοῦσα δόμον.

LVII.

Τοῦ αὐτοῦ.

Ὅστις ἐμὸν παρὰ σῆμα φέρεις πόδα, Καλλιμάχου με
Ἴσθι Κυρηναίου παῖδά τε κἠγενέτην.
Εἰδείης δ' ἄμφω κεν· ὁ μέν ποτε πατρίδος ὅπλων
Ἦρξεν, ὁ δ' ἧσεν κρείσσονα Βασκανίης.
Οὐ νέμεσις· Μοῦσαι γὰρ ὅσους ἴδον ὄμματι παῖδας
Μὴ λοξῷ, πολιοὺς οὐκ ἀπέθεντο φίλους.

LVIII.

ΦΙΛΙΠΠΟΥ.

Λατύπος Ἀρχιτέλης Ἀγαθάνορι παιδὶ θανόντι
Χερσὶν ὀϊζυραῖς ἡρμολόγησε τάφον·
Αἰ, αἰ πέτρον ἐκεῖνον, ὃν οὐκ ἐκόλαψε σίδηρος,
Ἀλλ' ἐτάκη πυκινοῖς δάκρυσι τεγγόμενος.
Φεῦ, σήλη, φθιμένῳ κώφη μένε· κεῖνος ἵν' εἴπῃ,
Ὄντως πατρώη χεὶρ ἐπέθηκε λίθον.

LIX.

ΑΝΤΙΠΑΤΡΟΥ.

Διογένευς τόδε σῆμα σοφῆς Κυνὸς, ὅς ποτε θυμῷ
Ἄρσενι γυμνήτην ἐξεπόνει βίοτον·
Ὤι μία τις πήρα, μία διπλοῒς, εἷς ἅμ' ἐφοίτα
Σκίπων, αὐτάρκης ὅπλα σαοφροσύνης.
Ἀλλὰ τάφε τῆδ' ἐκτὸς ἴτ', ἄφρονες· ὡς ὁ Σινωπεὺς
Ἐχθαίρει φαῦλον πάντα κὴν εἰν ἀϊδῃ.

LX.

ΚΡΙΝΑΓΟΡΟΥ.

Ἀντολίαι, δύσιες, κόσμου μέτρα, κὴ τὰ Νέρωνος
Ἔργα δι' ἀμφοτέρων ἵκετο γῆς περάτων·
Ἥλιος

Θ. Ἀρμενίην αἰνιὼν ὑπὸ χερσὶ δαμεῖσαν
Κείνῳ, Γερμανίην δ' εἶχε κατερχόμενος.
Διοτὲν ἀειδέσθω πολέμῳ κράτος· οἶδεν Ἀρίζης
Καὶ Ῥῆνος δήλοις ἔθνεσι πινόμενα.

LXI.

ΓΕΜΙΝΟΥ.

Οὗτος ὁ Κεκροπίδαισι βαρὺς λίθος Ἀρεῖ κεῖμαι,
Ξεῖνε, Φιλιππείης σύμβολον ἠορέης,
Ἠβρίζων Μαραθῶνα, καὶ ἀγχιάλῳ Σαλαμῖνος
Ἔργα, Μακηδονίοις ἔγχεσι κεκλιμένα.
Ὄμνυε νῦν νέκυας, Δημόσθενες· αὐτὰρ ἔγωγε
Καὶ ζωοῖς ἔσομαι καὶ φθιμένοισι βαρύς.

LXII.

ΓΑΙΤΟΥ.

Οἵδε τριηκόσιοι, Σπάρτα πατρὶ, τοῖς συναρίθμοις
Ἰναχίδαις Θυρέαν ἀμφὶ μαχεσάμενοι,
Αὐχένας ἐ στρέψαντες, ὅπα ποδὸς ἴχνια πρῶτον
Ἥρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
Εἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἦν ἀπ' Ἀδράστου·
Σπάρτᾳ δ' ἐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν, θάνατος.

LXIII.

Ἀδήλε.

Δέρκεο μυριόμοχθε τεὺς, Ἡρακλες, ἀγῶνας,
Οὓς τλὰς ἀθανάτων οἶκον Ὄλυμπον ἔβης·
Γηρυόνην, κλυτὰ μῆλα, μέγαν πόνον Αὐγείαο,
Πώλυς, Ἱππολύτην, πυλυκάρηνον ὄφιν,
Κάπρον Θωὔκτῆρα, Χάυς κύνα, Θῆρα Νεμείης·
Οἰωνὺς, ταῦρον, Μαιναλίην ἔλαφον.

LXIV.

ΓΕΜΙΝΟΥ.

Ἡρακλες, πῦ σοι πλόρθος μέγας, ἢ τε Νέμεια
Χλαῖνα, κὴ ἡ τόξων ἔμπλεος ἰοδόκη;
Πῦ σοβαρὸν μίμημα; τίς ἔπλασεν ὧδε κατηφῆ;
Λύσιππος· χαλκῷ δ' ἐγκατέμιξ' ὀδύνην.
Ἄχθη γυμνωθεὶς ὅπλων σέο; τίς δέ σ' ἔπερσεν;
Ὁ πλερόεις, ὄντως εἷς βαρὺς ἆθλος, Ἔρως.

LXV.

Τῦ αὐτῦ.

Χείρ με Πολυκλείτυ Θασίυ κάμεν· εἰμὶ δ' ἐκεῖνος
Σαλμωνεὺς, βρονταῖς ὃς Διὸς ἀντεμάνην.

Ὅς

Ὅς με κὴ εἰν αἴδῃ πορθεῖ πάλι, καί με περαυνοῖς
Βάλλει, μισῶν με κὲ ,,λαλέοντα τύπον.
Ἴσχε, Ζεῦ, πρηςῆρα, μέθες χόλον· εἰμὶ γὰρ ἄπνυς
Ὁ σκόπος· αἰψύχοις εἰκόσι μὴ πολέμει.

LXVI.

ΑΓΑΘΙΟΥ.

Σεῖο πολυκλήεντα τύπον ςήσαντο, Χερωνεῦ
Πλάταρχε, κρατερῶν ἥέες Αὐσονίων,
Ὅτι παραλλήλοισι βίοις Ἕλληνας ἀρίςους
Ῥώμης εὐπολέμους ἥρμοσας ἐνναέταις.
Ἀλλὰ τεῦ βιότοιο παράλληλον βίον ἄλλον
Οὐδὲ σύγ' ἂν γράψαις· ἓ γὰρ ὁμοῖον ἔχεις.

I.

ΠΑΛΛΑΔΑ.

Τέκνον ἀναιδείης, ἀμαθέστατε, θρέμμα μορίης,
Εἰπὲ τί βρενθύῃ, μηδὲν ἐπισάμενος;
Ἐν μὲν γραμματικοῖς, ὁ Πλατωνικός· ἢν δὲ Πλάτωνος
Δόγματά τις ξητῇ, γραμματικὸς σὺ πάλιν.
Ἐξ ἑτέρου φεύγεις ἐπὶ θάτερον· ἤτε δὲ τέχνην
Οἶσθα γραμματικὴν, ἤτε Πλατωνικὸς εἶ.
Πάντα μὲν οἶδα, λέγεις, ἀτελὴς δ' ἐν πᾶσιν ὑπάρχεις·
Γευόμενος πάντων, ἤδὲν ἔχεις ἴδιον.

II.

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Πένθιμον ἠίκα πατρὶ Πολυξείνης ὑμέναιον
Ἤυσεν ὀγκωτῇ Πύῤῥος ὕπερθε τάφῳ,
Ὧδε πολυκλαύστοιο κόμας λακίσασα καρήνῳ
Κισσηὶς τεκέων κλαῦσε φόνους Ἑκύβη,
Πρόσθε μὲν ἀξονίοις φθιτὸν εἱρυσας Ἕκτορα δεσμοῖς,
Νῦν δὲ Πολυξείνης αἵματα δέχῃ φθίμενος,
Αἰακίδη· τί τοσῦτον ἐμὴν ὠδύσαο νηδύν;
Παισὶν ἔφυς γὰρ ἐμοῖς ἤπιος ἠδὲ νέκυς.

III.

Ἀδήλου.

Τίπτε με τὸν φιλέρημον ἀναιδέϊ, ποιμένες, ἄγρῃ
Τέτληγα δροσερῶν ἕλκετ' ἀπ' ἀκρεμόνων,
Τὴν νυμφῶν παροδῖτιν ἀηδόνα, καύματι μέσῳ
Οὔρεσι καὶ σκιεραῖς ξυθὰ λαλεῦντα νάπαις;
Ἠνὶ δὲ καὶ κίχλην καὶ κόσυφον, ἠνὶ δὲ τόσσους
Ψάρας ἀρυραίης ἅρπαγας εὐπορίης.
Καρπῶν δηλητῆρας ἐλεῖν θέμις· ὅλλυτ' ἐκείνους.
Φύλλων καὶ χλοερῆς τίς φθόνος ἐστὶ δρόσου;

IV.

ΑΝΤΙΠΑΤΡΟΥ.

Τέσσαρες αἰωρῆσι ταναυπερύγων ἐπὶ νώτων
Νῆκαι ἰσηρίθμους ἡέας ἀθανάτων·
Ἃ μὲν Ἀθηναίαν πολεμαδόκον, ἃ δ' Ἀφροδίταν,
Ἃ δὲ τὸν Ἀλκείδαν, ἃ δ' ἀφόβητον Ἄρη,
Σεῖο κατ' εὐόροφον γραπτὸν στέγος, ἐς δὲ νέονται
Οὐρανὸν, ὦ Ῥώμας Γαιῆ πάτρας ἔρυμα.
Θεία ἀνίκατον μὲν ὁ βυφάγος, ἃ δέ γε Κύπρις
Εὔγαμον, εὔμητιν Παλλὰς, ἄτρεστον Ἄρης.

V.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἀγγελίης ἤκουσεν ἀνωΐστῳ Μελιτίνα
Τίεα σὺν φόρτῳ κύματι κρυπτόμενον. Ἠιόσιν

Ἠϊόσιν δ' ἐπικέλσαν ἀλίκλυστον δέμας ἄλλῳ
Δύσμορος οἰκείης σύμβολον εἶδε τύχης,
Γιέα δ' ὡς ἔσειλε· Δίων δ' ἐπὶ νηὸς ἀθραύστῳ
Ἦλυθεν ἐς γαίην σῶος ἀπ' ἐμπορίης.
Μητέρες ὡς ἀνίσῳ μοίρης λάχον· ἡ μὲν ἄελπτον
Ζωὸν ἔχει, κείνη δ' ὄψεται ὕστε νέκυν.

VI.

ΑΝΤΙΠΑΤΡΟΥ.

Εἴκοσιν Ἑρμοκράτεια κὴ ἐννέα τέκνα τεκοῦσα,
Οὔθ' ἑνὸς, ὅστε μιῆς ἠυγασάμην θανάτου.
Οὐ γὰρ ἀπωΐστευσεν ἐμοὺς ἥβας Ἀπόλλων,
Οὐ βαρυπενθήτης Ἄρτεμις εἷλε κόρας.
Ἔμπαλι δ' ἃ μὲν ἔλυσεν ἐμῶν ὠδῖνα μολοῦσα,
Φοῖβος δ' εἰς ἥβαν ἄρσενας ἠγάγετο
Ἀβλαβέας νούσοισιν· ἰδ' ὡς νίκημι δικαίως
Παισί τε κὴ γλώσσῃ σώφρονι Ταντα λίδα.

VII.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Λητόϊος κὴ Παῦλος ἀδελφεὼ ἄμφω ἐόντε,
Ξυνὴν μὲν βιότου συζυγίην ἐχέτην,
Ξυναὶ δὲ κὴ μοίρης λαχέτην λίνα, κὴ παρὰ θῖνα
Βοσπορίην ξυνὴν ἀμφεβάλοντο κόνιν.

Οὐδὲ γαὶρ ἀλλήλοιν ζώειν ἀπάνευθε δυναίσθην,
Αλλαὶ ξυντρεχέτην κ᾽ παραὶ Φερσεφόνην.
Χαίρετον, ὦ γλυκερὼ κ᾽ ὁμόφρονε· σήματι δ᾽ ὑμέων
Ὤφελεν ἱδρύσθαι βωμὸς ὁμοφροσύνας.

VIII.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἡ Βρόμιον ςέρξασα πολὺ πλέον ἢ τροφὸς Ἰνὼ,
Ἡ λάλΘ., ἀμπελίνη γρῆυς Ἀριςομάχη,
Ἠνίκα τὴν ἱερὴν ὑπέδυ χθόνα, πᾶν δ᾽ ἐμαράνθη
Πνεῦμα, πάρΘ. κυλίκων πλεῖςον ἐπαυρομένη,
Εἶπε ταδὶ Μίνωϊ πάλαι, φέρε κάλπιν ἐλαφρὴν·
Οἴσω κυάνεον τᾶξ Ἀχέροντος ὕδωρ·
Κἀυτὴ παρθενίην γαὶρ ἀπώλεσα· τᾶτο δ᾽ ἔλεξε
Ψευδὲς, ἵν᾽ αὐγάζῃ κἀν φθιμένοισι πίθον.

IX.

Ἀδήλε.

Ἅδης μὲν σύλησεν ἐμῆς νεότητος ὀπώρην,
Κρύψε δὲ παππώῳ μνήματι τῷδε λίθος.
Οὔνομα Ῥυφῖνος γενόμην, πάϊς Αἰθερίοιο,
Μητρὸς δ᾽ ἐξ Ἀγαθῆς· ἀλλὰ μάτην γενόμην.
Ἐς γαὶρ ἄκρον μάσης τε κ᾽ ἥβης ἄνθος ἐλάσας,
Φεῦ, σοφὸς εἰς ἀΐδην, κ᾽ νέος εἰς ἔρεβος.

Κώκυε

Κώκυε κὴ σὺ βλέπων τάιδε γράμματα μακρὸν, Ὀδῖται,
Εἴτέ ποτε ζώων ἦς παῖς, εἴτε πατήρ.

X.

ΛΟΥΚΙΛΛΙΟΥ.

Χοιρίδιον κὴ βῶν ἀπολώλεκα κὴ μίαν αἶγα,
Ὧν χάριν εἴληφας μισθάριον, Μενέκλεις.
Οὔτε δέ μοι κοινόν τι πρὸς Ὀθρυάδαν γεγένηται.
Οὔτ' ἀπάγω κλέψας τὰς ἀπὸ Θερμοπυλῶν·
Ἀλλὰ πρὸς Εὐτυχίδην ἔχομεν κρίσιν· ὥς τε τί ποιεῖ
Ενθάδε μοι Ξέρξης κὴ Λακεδαιμόνιοι;
Πλὴν καμοῦ μνήσθητι, νόμε χάριν· ἢ μέγα κράξω,
Ἄλλα λέγει Μενεκλῆς, ἄλλα τὸ χοιρίδιον.

XI.

ΠΑΛΛΑΔΑ.

Τῦ πωγωνοφόρυ Κυνικῦ τῦ βακτροπροσαίτυ
Εἴδομεν ἐν δείπνῳ τὴν μεγάλην σοφίην.
Θέρμων μὲν γὰρ πρῶτον ἀπέσχετο κὴ ῥαφανίδων,
Μὴ δεῖν δυλεύειν γαστρὶ λέγων ἀρετήν.
Εὖτε δ' ἐν ὀφθαλμοῖσιν ἴδεν χιονώδεα βολβὸν
Στρυφνὸν, ὃ πινυτὸν ἤδη ἔκλεπτε νόον.
Ἤτησεν παρὰ πρόσδοκίαν κὴ ἔτρωγεν ἀληθῶς,
Κὐδὲν ἔφη βολβὸν τὴν ἀρετὴν ἀδικεῖν.

XII.

Ἀποφθέγματα τῶν ἑπτὰ σοφῶν.

Ἑπτὰ σοφῶν ἐρέω κατ' ἔπος, πόλιν, ἄνεμα, φωνήν.
ΜΕΤΡΟΝ μὲν Κλείβυλος ὁ Λίνδιος εἶπεν ΑΡΙΣΤΟΝ.
Χίλων δ' ἐν κοίλῃ Λακεδαίμονι, ΓΝΩΘΙ ΣΕΑΥΤΟΝ.
Ὃς δὲ Κόρινθον ἔναιε, ΧΟΛΟΥ ΚΡΑΤΕΕΙΝ, Περίανδρος.
Πιτθακὸς, ΟΥΔΕΝ ΑΓΑΝ, ὃς ἦην γένος ἐκ Μιτυλήνης.
ΤΕΡΜΑ δ' ΟΡΑΝ ΒΙΟΤΟΙΟ, Σόλων ἱεραῖς ἐν Ἀθήναις.
ΤΟΥΣ ΠΛΕΟΝΑΣ ΚΑΚΙΟΥΣ δὲ Βίας ἀπέφηνε Πρίηνευς.
ΕΓΓΥΗΝ ΦΕΥΓΕΙΝ δὲ Θαλῆς Μιλήσιος ἤυδα.

XIII.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἴβυκε, λῃῖσταί σε κατέκτανον ἔκ ποτε νήσε
Βάντες ἐρημαίην ἄτιβον ἠιόνα,
Πόλλ' ἐπιβωσάμενον γεράνων νέφος, αἵ τοι ἵκοντο
Μάρτυρες ἄλγιστον ὀλλυμένῳ θάνατον.
Οὐδὲ μάτην ἰάχησας· ἐπεὶ ποινή τις Ἐρινὺς
Τῶνδε διὰ κλαγγὴν τίσατο σεῖο φόνον
Σισυφίην κατὰ γαῖαν. Ἰὼ φιλοκερδέα φῦλα
Ληῖστέων, τί θεῶν ἀ πεφίβησθε χόλον;

XIV.

Τᾶ αὐτᾶ.

Παυροεπὴς Ἥρινα κἢ ἀ πολύμυθος ἀοιδαῖς,
Ἀλλ' ἔλαχεν μύσας τᾶτο τὸ βαιὸν ἔπος. Τοι-

Τοιγάρτοι μνήμης ἐκ ἤμβροτεν, ἐδὲ μελαίνης
Νυκτὸς ὑπὸ σκιερῇ κωλύεται πτέρυγι.
Αἱ δ' ἀναρίθμητοι νεαρῶν σωρηδὸν ἀοιδῶν
Μυριάδες λήθῃ, ξεῖνε, μαραινόμεθα.
Λωίτερος κύκνε μικρὸς θρόος, ἢ κολοιῶν
Κρωγμὸς, ἐν εἰαριναῖς κιδνάμενος νεφέλαις.

XV.

ΜΑΙΚΙΟΥ.

Ἔρως δέσμιος.

Κλαῖε δυσεκφύκτως σφιγχθεὶς χέρας, ἄκριτε δαῖμον,
Κλαῖε μάλα, σάζων ψυχοτακῆ δάκρυα,
Σωφροσύνας ὕβριστὰ, φρενοκλόπε, λῃστὰ λογισμῶν,
Πτανὸν ψυχᾶς πῦρ, τραῦμ' ἀόρατον, Ἔρως.
Θνατοῖς μὲν λύσις ἐστὶ γόων ὁ σὸς, ἄκριτε, δεσμός·
Ὦ σφιγχθεὶς, κωφοῖς πέμπε λιτὰς ἀνέμοις.
Ὃν δὲ βροτοῖς ἀφύλακτος ἐνέφλεγες ἐν φρεσὶ πυρσὸν,
Ἄθρει νῦν ὑπὸ σῶν σβεννύμενον δακρύων.

XVI.

ΦΙΛΙΠΠΟΥ.

Ψιττακὸς ὁ βροτόγηρυς, ἀφεὶς λυγοτευχέα κύρτον,
Ἤλυθεν ἐς δρυμοὺς ἀνθοφυεῖ πτέρυγι.
Αἰεὶ ἐκμελετῶν ἀσπάσμασι Καίσαρα κλεινὸν,
Οὐδ' ἂν ὄρῃ λήθην ἤγαγεν ὀνόματος.

Ἔδραμε δ' ὠκυδίδακτος ἄπας οἰωνὸς, ἐρίζων
Τὶς φθῆναι δύναται δαίμονι ΧΑΙΡ' ἐνέπειν.
Ὀρφεὺς θῆρας ἔπεισεν ἐν ὄρεσιν· ἐς δέ σε, Καῖσαρ,
Νῦν ἀκέλευς-ος ἄπας ὄρνις ἀναιρέπεται.

XVII.

Ἀδήλου.

Αὐτῷ τοι πρὸς Ὄλυμπον ἐμακύναντο Κολοσσὸν
Τόνδε Ῥόδοι ναέται Δωρίδος, Ἀέλιε,
Χάλκεον αἰνίκα κῦμα καλευνάσαντες Ἐνυοῦς
Ἔσεψαν πάτραν δυσμενέων ἐνάροις.
Οὐ γὰρ ὑπὲρ πελάγευς μόνον ἄνθεσαν, ἀλλὰ κὴ ἐν γᾷ
Ἄβρὸν ἀθυλώτου φέγγος ἐλευθερίης.
Τοῖς γὰρ ἀφ' Ἡρακλῆος ἀεξηθεῖσι γενέθλης
Πάτρις ἐν πόντῳ κὴν χθονὶ κοιρανίη.

XVIII.

ΠΟΣΕΙΔΙΠΠΟΥ, οἱ δὲ, ΚΡΑΤΗΤΟΣ τοῦ Κυνικοῦ.

Ποίην τις βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μὲν
Νείκεα κὴ χαλεπαὶ πρήξιες· ἐν δὲ δόμοις
Φροντίδες. ἐν δ' ἀγροῖς καμάτων ἄλις· ἐν δὲ θαλάσσῃ
Τάρβος. ἐπὶ ξείνῃ δ', ἣν μὲν ἔχῃς τι, δέος.
Ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον; ἢ ἀμέριμνος
Ἔσσαι· ἢ γαμέεις; ζῇς ἔτ' ἐρημότερον.

Τέκνα

Τέκνα, πόνοι· πήρωσις, ἄπαις βίος. αἰ νεότητες,
Ἄφρονες· αἰ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
Ἦν ἄρα τοῖνδε δυοῖν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

XIX.

ΜΕΤΡΟΔΩΡΟΥ.

Ἐκ τῆ ἐναντίᾳ πιθανά.

Παντοίην βιότοιο τάμοις τρίβον· εἰν ἀγορῇ μὲν
Κήδεα καὶ πινυταὶ πρήξιες· ἐν δὲ δόμοις
Ἀμπαυμὸ. ἐν δ' ἀγροῖς φύσιος χάρις· ἐν δὲ θαλάσσῃ
Κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τι, κλέος·
Ἢν δ' ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον; οἶκος ἄριστος
Ἔσεται· ἢ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον.
Τέκνα, πόθος· ἄφροντις ἄπαις βίος. αἰ νεότητες,
Ῥωμαλέαι· πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.
Οὐκ ἄρα τῶν διοτῶν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν· πάντα γὰρ ἐσθλὰ βίῳ.

XX.

ΜΕΛΕΑΓΡΟΥ.

Δάκρυά σοι κὴ νέρθεν ὑπὸ χθονὸς, Ἡλιοδώρα,
Δωρῦμαι, σοργᾶς λείψανον εἰς Ἀΐδην,

Δάκρυα δυσδάκρυτα πολυκλαύςῳ δ' ἐπὶ τύμβῳ
Σπένδω μνᾶμα πόθων, μνᾶμα φιλοφροσύνας.
Οἰκτρὰ γὰρ, οἰκτρὰ φίλαν σε κ᾽ ἐν φθιμένοις Μελέαγρος
Αἰάζω, νεκυὰν εἰς Ἀχέροντα χάριν.
Αἶ, αἶ, πᾶ τὸ ποθεινὸν ἐμοὶ θάλος; ἅρπασεν Ἅδας,
Ἥρπασεν· ἀκμαῖον δ' ἄνθος ἔφυρε κόνις.
Ἀλλά σε γενοῦμαι, Γᾶ πάντροφε, τὰν πανόδυρτον
Ἠρέμα τοῖς κόλποις, μᾶτερ, ἐναγκάλισαι.

XXI.

ΑΓΑΘΙΟΥ.

Ἰητήρ τις ἐμοὶ τὸν ἐὸν φίλον υἱὸν ἔπεμψε,
Ὡς ε μαθεῖν παρ' ἐμοὶ ταῦτα τὰ γραμματικά.
Ὡς δὲ τὸ ΜΗΝΙΝ ΑΕΙΔΕ, κ᾽, ΑΛΓΕΑ ΜΥΡΙ' ΕΘΗΚΕΝ
Ἔγνω, κ᾽ τὸ τρίτον τοῖς δ' ἀκόλυθον ἔπος,
ΠΟΛΛΑΣ Δ' ΙΦΘΙΜΟΥΣ ΨΥΧΑΣ ΑΙΔΙ ΠΡΟΙΑΨΕΝ,
Οὐκ ἔτι μιν πέμπει πρός με μαθησόμενον.
Ἀλλά μ' ἰδὼν ὁ πατὴρ, σοὶ μὲν χάρις, εἶπεν, ἑταῖρε·
Αὐτὰρ ὁ παῖς παρ' ἐμοὶ ταῦτα μαθεῖν δύναται.
Καὶ γὰρ ἐγὼ ψυχὰς πολλὰς Ἄϊδι προϊάπτω,
Καὶ πρὸς τῦτ' ἐδὲν γραμματικῆ δέομαι.

XXII.

ΑΝΤΙΠΑΤΡΟΥ Θετταλῆ

Τάσδε θεογλώσσους Ἑλικὼν ἔθρεψε γυναῖκας
Ὕμνοις, κ᾽ Μακεδὼν Πιερίας σκόπελος, Πρη-

Πρηξίλλαν, Μυρὼ, ᾽Ανύτις σ᾽όμα, Θῆλυν ῞Ομηρον,
Λεσβιάδων Σαπφὼ κόσμον ἐϋπλοκάμων,
῾Ηριννᾶν, Τελέσιλλαν ἀγακλέα, καί σε Κόριννα,
Θῆριν ᾽Αθαναίης ἀσπίδα μελιψαμένην,
Νοσσίδα θηλύγλωσσον, ἰδὲ γλυκυαχέα Μύρτιν,
Πάσας ἀενάων ἐργάτιδας σελίδων,
᾽Εννέα μὲν Μοῦσας μέγας οὐρανός· ἐννέα δ᾽ αὐτὰς
Γαῖα τέκε θνατοῖς ἄφθιτον εὐφροσύναν.

XXIII.

᾽Αδήλα.

᾽Ανδροφόνῳ σαθρὸν παρὰ τειχίον ὑπνώοντι
Νυκτὸς ἀποσ῾ηναί φασι Σάραπιν ὄναρ·
Καὶ χρησμῳδῆσαι, κατακείμενος ἕτος ἀνίσ῾ω,
Καὶ κοιμῶ μεταβὰς, ὦ τάλας, ἀλλαχόθι.
῞Ος δὲ διυπνισθεὶς μετέβη· τὸ δὲ σαθρὸν ἐκεῖνο
Τειχίον ἐξαίφνης λυτὸν ἔκειτο χαμαί.
Σῶσρα δ᾽ ἔωθεν ἔθυε θεοῖς χαίρων ὁ κακοῦργος,
῾Ηδεσθαι νομίσας τὸν θεὸν ἀνδροφόνοις.
᾽Αλλ᾽ ὁ Σάραπις ἔχρησε πάλιν διὰ νυκτὸς ἐπισ῾ὰς,
Κήδεσθαί με δοκεῖς, ἄθλιε, τῶν ἀδίκων;
Εἰ μὴ νῦν σε μεθῆκα θανεῖν, θάνατον μὲν ἄλυπον
Νῦν ἔφυγες, σαυρῷ δ᾽ ἴσθι φυλασσόμενος.

XXIV.

ΠΟΣΕΙΔΙΠΠΟΥ.

Διάλογος.

Τίς, πόθεν ὁ πλάστης; Σικυώνιος· ἔνομα δὴ τίς;
Λύσιππος. σὺ δὲ τίς; Καιρὸς ὁ πανδαμάτωρ.
Τίπτε δ' ἐπ' ἄκρα βέβηκας; ἀεὶ τροχάω. τί δὲ ταρσὰς
Ποσσὶν ἔχεις διφυεῖς; ἵπταμ' ὑπηνέμιος.
Χειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; ἀνδράσι δεῖγμα,
Ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.
Ἡ δὲ κόμη τί κατ' ὄψιν; ὑπαντιάσαντι λαβέσθαι.
Νὴ Δία. ταὐξόπιθεν πρὸς τί φαλακρὸν πέλει;
Τὸν γὰρ ἅπαξ πλημοῖσι παραθρέξαντά με ποσσὶν
Οὔτις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.
Τοῖον ὁ τεχνίτης με διέπλασεν εἵνεκεν ὑμέων,
Ξεῖνε, κὴν ἐν προθύροις θῆκε διδασκαλίην.

XXV.

ΚΑΛΛΙΜΑΧΟΥ.

Ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιτθακὸν ἕτω,
Τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑρράδιος·
Ἄτθα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
Νύμφη κὴ πλέτῳ κὴ γενεῇ κατ' ἐμέ,

Ἡ

Ἡ δ' ἑτέρη προβέβηκε. τί λώϊον; εἰ δ' ἄγε σύν μοι
Βάλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω.
Εἶπεν· ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας,
Ἠνίδε κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος.
Οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
Ἕρρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.
Κείνων ἔρχεο, φησὶ, μετ' ἴχνια. Χὠ μὲν ἑπέσθη
Πλησίον· οἱ δ' ἔλεγον, τὴν κατὰ σαυτὸν ἔλα.
Ταῦτ' αἰῶν ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
Δραίξασθαι, παίδων κληδόνι συνθέμενος.
Τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἶκον ἀπήγαγε νύμφην,
Οὕτω κ' σύγ' ἰὼν τὴν κατὰ σαυτὸν ἔλα.

XXVI.

ΑΡΧΙΜΗΛΟΥ.

Εἰς ναῦν Ἱέρωνος πεμφθεῖσαν Πτολεμαίῳ.

Τίς τόδε σέλμα πέλωρον ἐπὶ χθονὸς εἵσατο; ποῖος
Κοίρανος ἀπλαμάτοις πείσμασιν ἠγάγετο;
Πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανίς; ἢ τίνι γόμφοι
Τμηθέντες πελέκει τῦτ' ἔπαμον τὸ κύτος;
Ἦ κορυφαῖς Αἴτνας παρισάμενον, ἢ τινι νάσων
Ἃς Αἰγαῖον ὕδωρ Κυκλάδας ἐνδέχεται·
Τοίχοις ἀμφοτέρωθεν ἰσοπλατές. ἦ ῥα γίγαντες
Τῦτο πρὸς ἠρανίας ἔξεσαν ἀτραπιτύς.

Ἄστρων

Ἄστρων τοι ψαύει παρχήσια, καὶ τριελίκτας
Θώρακας μεγάλων ἐντὸς ἔχει νεφέων
Πείσμασιν ἀγκύρας ἀπερείδεται, οἷσιν Ἀβύδου
Ξέρξης καὶ Σηστὸν διστὸν ἔδησε πόρον.
Μανύει σιδαρᾶς κατ' ἐπωμίδος ἀρτιχάρακτον
Γράμμα, τίς ἐκ χέρσου τάνδ' ἐκύλισχε τρόπιν,
Σικελίας σκαπτοῦχος ὁ Δωρικός· ἀλλὰ, Πόσειδον,
Σῶζε κατὰ γλαυκῶν σέλμα τόδε ῥοθίων.

XXVII.

ΑΓΑΘΙΟΥ.

Κείτο μὲν Ἀλκιμένης κεκακωμένος ἐκ πυρετοῖο,
Καὶ περὶ λευκανίην βραγχὰ λαρυγγιόων·
Νυσσόμενός τε τὸ πλευρὸν, ὅτε ξιφέεσσιν ἀμυχθὲν,
Καὶ θαμὰ δυσκελάδοις ἄσθμασι πνευσιόων.
Ἦλθε δὲ Καλλίγνωτος ὁ Κώϊος, ὁ πλατυλέσχης,
Τῆς Παιωνίδος πληθόμενος σοφίης·
Πᾶσαν ἔχων πρόγνωσιν ἐν ἄλγεσιν, ὅτι περισσὸν
Ἄλλο προαγγέλλων ἢ τὸ γενησόμενον.
Ἀλκιμένης δ' ἐδόκευεν ἀνάκλισιν, ἧκε τε πρόσω πε
Φράζετο, καὶ παλάμης ψαῦεν ἐπισταμένως.
Καὶ τὸ περὶ κρισίμων φαέων ἐλογίζετο γράμμα,
Πάντ' ἀναπεμπάζων ἐγκὰς Ἱπποκράτες.
Καὶ τότε τὴν πρόγνωσιν ἐς Ἀλκιμένην ἀνεφώνει,
Σεμνοπροσωπήσας καὶ σοβαρευσάμενος.

Εἶγε

Εἶγε φάρυγξ βομβεῦσα, κ᾽ ἄγρια τύμματα πλευρᾶ,
Καὶ πυρετῷ λήξει πνεῦμα δασυνόμενον,
Οὐκ ἔτι τεθνήξῃ πλευρίτιδι· τοῦτο γὰρ ἡμῖν
Σύμβολον ἐσομένης ἐς᾽ ἰὴν ἀπημοσύνης,
Θάρσει, τὸν νομικὸν δὲ κάλει, κ᾽ χρήματα σαυτῷ
Εὖ διαθεὶς, βιότῳ λῆγε μεριμνοτόκῳ.
Καί με τὸν ἰητρὸν, προρρήσιος εἵνεκεν ἐσθλῆς,
Ἐν τριτάτῃ μοίρῃ κάλλιπε κληρονόμον.

INDEX AUTORUM

ET

Ubi singula eorum in hoc Libello

EPIGRAMMATA

OCCURRUNT.

A.

AGathiæ Pag. 83, 87, 94, 98
Alcæi *Messenii* 24
Alphæi *Mitylenæi* 45, 64
Ammiani 8, 33, 34
Anacreontis 12, 13
Antiochi 5
Antipatri 5, 11, 31, 36, 49, 54, 56, 57, 61, 62, 64, 66, 81, 86, 87, 90, 94
——*Sidonii* 14, 45, 51, 72
Antiphanis 67
Antiphili *Byzantii* 59
Antonii *Argivi* 27
Apollinarii 6
Apollonidis 62, 86
Archiæ 23, 24, 26, 41, 70
Archimeli 97
Argentarii 30, 88
Asclepiadis 11, 41, 44
Athenæi 69
Automedontis Pag. 32

B.

Bianoris 25, 48

C.

Calliæ *Argivi* 30
Calliceri 6
Callimachi 9, 12, 25, 39, 43, 76, 78, 79, 96
Callinii 62
Carpyllidæ 70
Cerealii 68
Crinagoræ 80

D.

Damageti 23
Damaschii 10
Demodoci

INDEX.

Demodoci Pag. 3
Diodori 40
Diogenis Laertii 43, 45
Dioſcoridis 37

E.

Etruſci *Meſſenii* 77
Eveni 1, 14, 67

G.

Gæti 71, 81
Gemini 81, 82
Germanici *Cæſaris* 26, 63, 68
Glauci 44
Gregorii *Nazianzeni* 13, 38

H.

Herodici *Babylonii* 68

I.

Joannis *Barbucalli* 50
Ionis 78
Juliani 11, 44
——*Ægyptii* 16, 40
——præfecti *Ægypti* 10, 14, 19, 23, 36, 53, 72, 77
Julii *Leonidæ* 27

L.

Leontii *Scholaſtici* 10, 13
Leonidæ 17, 20, 29, 53, 72
Luciani 3, 5, 20, 21, 28, 36, 47, 53
Lucillii Pag. 3, 7, 19, 32, 33, 34, 48, 57, 60, 75, 89

M.

Macedonii *Conſulis* 20, 48, 71, 73, 74
Mæcii 91
Meleagri 8, 18, 30, 93
Menandri 8
Menecratis 3
Metrodori 93
Moſchi 73
Muſicii 49

N.

Nicandri 2
Nicarchi 6, 19, 29, 31, 32
Nicodemi 19
Noſſidis 46, 52

O.

Oneſti *Corinthii* 17

P.

Palladæ 2, 7, 17, 20, 21, 28, 35, 58, 60, 85, 89
Parmenionis 9, 24
Pauli *Silentiarii* 46
Philippi 2, 58, 80, 91
Philodemi 49, 74
Philonis 34
Platonis 10, 15, 16, 17, 18, 52
——*Junioris* 1

Poliani

INDEX.

Poliani Pag. 2
Polyæni 63
Poſidippi 92, 96
Ptolemæi 35

R.

Rufini 18, 50, 74, 76

S.

Sabini 52
Simonidis Pag. 4, 11, 12, 45
Statyllii Flacci 1, 45

T.

Theocriti 55, 56
Theognidis 6
Theoſebiæ 38

Z.

Zelotis 5

FINIS.

BOOKS Printed for B. BARKER, *at the* College-Arms *in the* Bowling-Alley, *near the King's School at* Weſtminſter.

HEbraicæ Grammatices Rudimenta.

Grammatica Buſbeiana, auctior & emendatior, i. e. Rudimentum Grammaticæ Græco-Latinæ Metricum.

Græcæ Grammaticæ Compendium.

Tragœdiæ Græcæ tres, Æſchyli Choephoræ, Electra Sophoclis, et Electra Euripidis.

Poematum Græcorum minorum Delectus.

Xenophontis de Cyri Inſtitutione Libri Octo, per Thomam Hutchinſon, A. M. Editio Quarta.

Pub. Terentii Afri Comœdiæ ad Editionem Faernianam, & Harii, & Bentleii caſtigationes emendatæ, & notulis illuſtratæ partim novis, partim ex Donato, Dacierâ, &c. excerptis per Thomam Fitzgerald, A. M.

M. Val. Martialis Epigrammata, emendatiora, & Notis illuſtrata, per Thomam Fitzgerald, A. M.

Poematia, Latinè partim reddita, partim ſcripta: à V. Bourne, Collegii Trinitatis apud Cantabrigienſes aliquando Socio. Tertiò Edita. Cum Appendice.